ἀλλ᾽ ὥϲ πάγχυ πόλει, Κύρνε, ἁλωϲομένηι.

Coὶ μὲν ἐγὼ πτέρ᾽ ἔδωκα, cὺν οἷϲ᾽ ἐπ᾽ ἀπείρονα πόντον
πωτήcηι καὶ γῆν πᾶϲαν ἀειρόμενοϲ
ῥηϊδίωϲ· θοίνηϲ δὲ καὶ εἰλαπίνηιϲι παρέϲϲηι
ἐν πάϲαιϲ πολλῶν κείμενοϲ ἐν ϲτόμαϲιν,
καί ϲε ϲὺν αὐλίϲκοιϲι λιγυφθόγγοιϲ νέοι ἄνδρεϲ
εὐκόϲμωϲ ἐρατοὶ καλά τε καὶ λιγέα
ἄιϲονται. καὶ ὅταν δνοφερῆϲ ὑπὸ κεύθεϲι γαίηϲ
βῆιϲ πολυκωκύτουϲ εἰϲ ᾿Αίδαο δόμουϲ,
οὐδέποτ᾽ οὐδὲ θανὼν ἀπολεῖϲ κλέοϲ, ἀλλὰ μελήϲειϲ
ἄφθιτον ἀνθρώποιϲ᾽ αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ᾽ ῾Ελλάδα γῆν ϲτρωφώμενοϲ ἠδ᾽ ἀνὰ νήϲουϲ
ἰχθυόεντα περῶν πόντον ἐπ᾽ ἀτρύγετον,
οὐχ ἵππων νώτοιϲιν ἐφήμενοϲ· ἀλλά ϲε πέμψει
ἀγλαὰ Μουϲάων δῶρα ἰοϲτεφάνων.
πᾶϲι δ᾽, ὅϲοιϲι μέμηλε, καὶ ἐϲϲομένοιϲιν ἀοιδή
ἔϲϲηι ὁμῶϲ, ὄφρ᾽ ἂν γῆ τε καὶ ἠέλιοϲ.

---

**237** ss 'Cyrni' epilogum esse censet Wil. SS. 287 ad rem cf. Pind. Ol. 9, 21 ss Hor. carm. 3, 30 Ou. met. 15, 871 ss **237** eodem cadit Α 350 cf. δ 510 κατὰ πόντον ἀπείρονα **238** ποτήϲει AO καὶ B. κατὰ 𝔈 ἀειράμενοϲ Vat. **239** s Κ 217 αἰεὶ δ᾽ ἐν δαίτηιϲι καὶ εἰλαπίνηιϲι παρέϲται **240** A. P. 9, 62 πάντων δ᾽ ῾Ελλήνων κείϲομαι ἐν ϲτ. Enn. epigr. 1 (Var. 17 V.) *uolito uiuos per ora uirum* Verg. georg. 3, 9 *uolitare per ora* Hor. carm. 2, 20, 1 s *non usitata nec tenui ferar penna* **242** s cf. 939 cum adn. **243** de ἄιϲονται dubitat Wil.[1] Eur. Iph. T. 1266 s δνοφερᾶϲ γᾶϲ εὐνάϲ. cf. Hes. theog. 736 **243** s Χ 482 s νῦν . . . ᾿Αίδαο δόμουϲ ὑπὸ κεύθεϲι γαίηϲ ἔρχεαι sim. al. Hes. theog. 300 al. **244** π. solus Theogn. **245** s ~ ω 93 s ι 19 s πᾶϲι δόλοιϲιν ἀνθρώποιϲι μέλω **247—250** ante 239 traiec. H.-W. ad rem contulit Lav. quoque Pind. Ol. 9, 21 ss **247** οὐκ ἀνὰ νῆαϲ lusit Wil.[1] **248** π. ἰχθ. Hom. β 370 πόντον ἐπ᾽ ἀτρ. ω 118 περήϲαμεν . . . πόντον **249** οὐδ᾽ Wil.[1] **250** ἀ. δῶρα Α 213 al. cf. 1304 (1332. 1383) et Sol. 1, 51 **251** πᾶϲι διὸϲ οἷϲι A explicauit Lachm. πᾶϲιν οἷϲι· Vat. πᾶϲι γὰρ οἷϲι det. **251** s θ 580 ἵνα ἦιϲι καὶ ἐϲϲομένοιϲιν ἀοιδή cf. Theocr. 12. 11 **252** Τ 259 Γῆ τε καὶ ᾿Ηέλιοϲ

αὐτὰρ ἐγὼν ὀλίγης παρὰ ϲεῦ οὐ τυγχάνω αἰδοῦϲ,
ἀλλ᾽ ὥϲπερ μικρὸν παῖδα λόγοιϲ μ᾽ ἀπατᾷϲ.

---

Κάλλιϲτον τὸ δικαιότατον· λῷϲτον δ᾽ ὑγιαίνειν·
πρᾶγμα δὲ τερπνότατον, τοῦ τιϲ ἐρᾷ, τὸ τυχεῖν.

Ἵπποϲ ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιϲτον
ἄνδρα φέρω, καί μοι τοῦτ᾽ ἀνιηρότατον.
πολλάκι δ᾽ ἠμέλληϲα διαρρήξαϲα χαλινόν
φεύγεν ἀπωϲαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνοϲ, ἐπεὶ παρὰ παιδὶ τερείνηι
ἄλλοϲ ἀνὴρ κατέχει πολλὸν ἐμεῦ κακίων . . .
'ψυχρόν μοι παρὰ τῆιδε φίλοι πίνουϲι τοκῆεϲ.'

---

**255 s** Arist.[1] eth. Nicom. 1, 9 p. $1099^a$, 25 ἄριϲτον ἄρα καὶ κάλλιϲτον καὶ ἥδιϲτον ἡ εὐδαιμονία, καὶ οὐ διώριϲται ταῦτα κατὰ τὸ Δηλιακὸν ἐπίγραμμα· [2] eth. Eudem. 1, 1 p. $1214^a$, 5 ὁ μὲν ἐν Δήλωι παρὰ τῶι θεῶι τὴν αὑτοῦ γνώμην ἀποφηνάμενοϲ ϲυνέγραψεν ἐπὶ τὸ προπύλαιον τοῦ Λητώιου διελὼν οὐχ ὑπάρχοντα πάντα τῶι αὐτῶι, τό τε ἀγαθὸν καὶ τὸ καλὸν καὶ τὸ ἡδὺ ποιήϲαϲ· [255 s]. ἡμεῖϲ δ᾽ αὐτῶι μὴ ϲυγχωρῶμεν· ἡ γὰρ εὐδαιμονία κάλλιϲτον καὶ ἄριϲτον ἁπάντων οὖϲα ἥδιϲτόν ἐϲτιν Stob. 4, 39 (περὶ εὐδαιμονίαϲ), 8 p. 903 H. [SMA] Θεόγνιδοϲ· cf. Soph. fr. 329 N.[2]

---

**253** 1266 αἰδοῦϲ οὐδεμιῆϲ ἔτυχον **253 s** cf. Pohl. p. 424 s del. Welck. H.-W. **255 s** cf. H. Fränkel NGG 1924, 121[4] **255** ῥᾷιϲτον δ᾽ ἔϲθ᾽ ὑ. Stob. ℭ **256** ἥδιϲτον δὲ πέφυχ᾽ οὗ τιϲ ἐρᾷι τὸ τυχεῖν fere Arist.[1] πάντων δ᾽ ἥδιϲτον, οὗ τιϲ ἐρᾷι ⟨τὸ⟩ τυχεῖν Arist.[2] ἥδιϲτον δὲ τυχεῖν ὧν τιϲ ἕκαϲτοϲ ἐρᾷι Stob. οὗ Vat. det. **257—260. 261—266** uersus aenigmaticos Cleobulo uel Cleobulinae tribuit Hart. **257 ss** cf. 1249 ss 1267 ss Ζ 506 Anacr. 4. 75 Cataudella Athen. 1928, 249 ss **257** ἵππον ἀέθλιον Callim. hymn. Del. 113 **258** cf. 124 **259** Ζ 506 s ἵπποϲ . . . δεϲμὸν ἀπορρήξαϲ, ubi Etym. Magn. 51, 12 δεϲμὰ διαρρήξαϲ **260** φεύγειν ℭ formam Doricam interpretati sunt editores ὠϲαμένη det. **261 ss** cf. Howald Festschr. f. Kaegi 1919, 164 s **262** καταχεῖ ci. Herm. sed de portus imagine (uelut 114) contulit rectissime Kai. Soph. El. 502 εἰ μὴ τόδε φάϲμα νυκτὸϲ εὖ καταϲχήϲει et Trach. 826 (Croen.) post u. 262 lac. statuit Schnw. **263** 'ψυχρὸν cf. νερό' Kal. τῆϲδε? Bölte

ὥcθ᾽ ἅμα θ᾽ ὑδρεύει καί με γοῶcα φέρει . . .
ἔνθα μέcην περὶ παῖδα βαλὼν ἀγκῶν᾽ ἐφίληcα
  δειρήν, ἣ δὲ τέρεν φθέγγετ᾽ ἀπὸ cτόματοc.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦcα·
  οὔτε γὰρ εἰc ἀγορὴν ἔρχεται οὔτε δίκαc·
πάντηι γὰρ τοὔλαccον ἔχει, πάντηι δ᾽ ἐπίμυκτοc,
  πάντηι δ᾽ ἐχθρὴ ὁμῶc γίνεται, ἔνθα περ ἦι.

Ἴcωc τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖc᾽ ἀνθρώποιc
  γῆράc τ᾽ οὐλόμενον καὶ νεότητ᾽ ἔδοcαν.
τῶν πάντων δὲ κάκιcτον ἐν ἀνθρώποιc θανάτου τε
  καὶ παcέων νούcων ἐcτὶ πονηρότερον·
παῖδαc ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράcχοιc,
  χρήματα δ᾽ εἰ καταθῆιc πόλλ᾽ ἀνιηρὰ παθών,
τὸν πατέρ᾽ ἐχθαίρουcι, καταρῶνται δ᾽ ἀπολέcθαι
  καὶ cτυγέουc᾽ ὥcπερ πτωχὸν ἐcερχόμενον.

Εἰκόc τοι κακὸν ἄνδρα κακῶc τὰ δίκαια νομίζειν,
  μηδεμίαν κατόπιcθ᾽ ἁζόμενον νέμεcιν·
δειλῶι γάρ τ᾽ ἀπάλαμνα βροτῶι πάρα πόλλ᾽ ἀνελέcθαι
  πὰρ ποδόc, ἡγεῖcθαί θ᾽ ὡc καλὰ πάντα τιθεῖ.

Ἀcτῶν μηδενὶ πιcτὸc ἐὼν πόδα τῶνδε πρόβαινε
  μήθ᾽ ὅρκωι πίcυνοc μήτε φιλημοcύνηι,

---

**264** γ. ποθεῖ ci. Hi. **265** λαβὼν ℭ em. Herm. **267** γνῶτ᾽ εἰ A γνώτη rel. τε A em. Bekk. om. rel. **269** ἐπίμ. solus Th. **271** eodem cadit C 404 **271** ss Mimnermum sapiunt cf. Schadewaldt Ant. 9 p. 292 **271** s cf. Hom. hymn. Ven. 243 ss **272** item incipit 768. cf. 527. 1011. 1021 κἀν νεοτητ᾽ A a. corr. κἀνεότητα (i. καὶ ἐνεότητα) ci. Elter. sed cf. 527 s **274** πονηρότατον ℭ, fort. recte (cf. 173 s et Kühner-Gerth 1, 23) πονηρότερον Hart. **275** cf. 695 Ps.-Hes. scut. 84 ἄρμ. π. παρεῖχον Hes. op. 407 χρήματα . . . πάντ᾽ ἄρμενα ποιήcαcθαι **276** ἐγκαταθῆιc ℭ (ε ras. κ- A) em. B. ex 409. 1061, negat Friedl. cf. Add. **277** s cf. 821 s **280** χ 40 οὔτε τιν᾽ ἀνθρώπων νέμεcιν κατόπιcθεν ἔcεcθαι **281** βροταὶ A **281** s cf. T. W. Allen ClQuart. 1930 p. 188 **282** ad π. π. cf. Pind. Pyth. 3, 60. 10, 62 **283** τόνδε ℭ em. Herm.

μηδ᾽ εἰ Ζῆν᾽ ἐθέληι παρέχειν βασιλῆα μέγιστον
 ἔγγυον ἀθανάτων πιστὰ τιθεῖν ἐθέλων.

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγωι ἁνδάνει οὐδέν·
 ἐς δὲ τὸ σῶις᾽ αἰεὶ πολλοὶ ἀνολβότεροι.

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
 ἀνδρῶν· ἡγέονται δ᾽ ἐκτραπέλοισι νόμοις·
αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
 νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
 καὶ κρατερόν περ ἐόνθ᾽ αἱρεῖ ἀμηχανίη.

Κωτίλωι ἀνθρώπωι σιγᾶν χαλεπώτατον ἄχθος,
 φθεγγόμενος δ᾽ ἀδαὴς οἷσι παρῆι μελετᾶι,
ἐχθαίρουσι δὲ πάντες· ἀναγκαίη δ᾽ ἐπίμειξις
 ἀνδρὸς τοιούτου συμποσίωι τελέθει.

Οὐδεὶς λῆι φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
 οὐδ᾽ ὧι κ᾽ ἐκ γαστρός, Κύρνε, μιῆς γεγόνηι.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής
 λάτρισι καὶ δμωσὶν γείτοσί τ᾽ ἀγχιθύροις.

---

**287** cf. Allen l. c. p. 188 **288** ὡς δὲ 𝔈 ἐς δὲ Boiss. ὥστε δὲ σώιζεσθαι Schmidt H.-W. **289** eodem cadit Hes. op 179 **290** ἀνδράσιν ci. Cr. **291** s cf. 647 s **292** Callin. 1, 4 πόλεμος γαῖαν ἅπασαν ἔχει **293** antea lacunam statuit Kai., cuius de argumento contulit Croen. u. 139 s μ 30 δαινύμενοι κρέα **293** s δ 335 κρατεροῖο λέοντος **294** O 195 καὶ κρατερός περ ἐών (Hom. hymn. Merc. 386) **295** eodem cadit 1384 **296** ἀδδὴς B. conlato Hesych. ἀδής· ἀτερπής et ἄδες· . . . ἔνιοι δὲ ἀηδές, contulit Wil.[1] ἀδής apud Phryn. ed. Bekk. 22, 3 ἀτίη τοῖσι Stadtm. μέλεται 𝔈 interpr. Cr. πέλεται Camer. Turn. Stadtm. H.-W. **297** πάντας A em. Vat. det. ἀναγκαίηι ci. Kal. **299** s cf. 857 ss cum adn. **299** οὐδεὶς δη A οὐθὲ θέλει Vat. οὐδ᾽ ἐθέλει rel. em. Sauppe B. ad uocem Doricam cf. φεύγεν 260 al. infinit. Doric. Ω 436 μή μοί τι κακὸν . . . γένηται **300** ὡκ᾽ A interpretati sunt Bekk. B. ἦν rel. μιᾶς 𝔈 em. B. **301** = 1353 (ἐστι) cf. adn. uersus sumptus e genuinis Cyrni distichis 1353 ss

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ᾽ ἀτρεμίζειν,
τὸν δὲ κακὸν κινεῖν, ἔςτ᾽ ἂν ἐς ὀρθὰ λάβηις.

Τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ᾽ ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ᾽ ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἴη·
πάντα δέ μιν λήθειν ὥς ἀπεόντα δοκοῖ·
εἰς δὲ φέροι τὰ γελοῖα· θύρηφι δὲ καρτερὸς εἴη
γινώσκων ὀργὴν ἥντιν᾽ ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται,
ἀλλ᾽ ἡμεῖς τούτοις᾽ οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν᾽, ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾶι δ᾽ ἔν τε κακοῖς κείμενος ἔν τ᾽ ἀγαθοῖς.

---

**315—318** Stob. 3, 1 (π. ἀρετῆς), 8 p. 5 H. [M Paris. 551] Θεόγνιδος· **319—322** Stob. 3, 37 (π. χρηστότητος), 3 p. 699 H. [SMA] Θεόγνιδος·

---

**303** Hesych. κιγκλίζειν· κινεῖν. πειράζειν cf. eundem sub κίγκλος **304** Soph. Oed. reg. 50 στάντες τ᾽ ἐς ὀρθόν λάβης Vat. det. ras. α ras. ηις A βάληις Ald. H.-W. (cf. 265) **305** πάντες A **305** ss contulit Cr. Flor. Anth. lat. 1, 249 R., H.-W. Eur. El. 367 ss **306** Xenoph. Anab. 2, 5, 8 συνθέμενοι φιλίαν **309** εἶναι A Homeri haud immemor (θ 388) ἴσθι rel. em. Herm. **310** δόκει 𝔖 em. Geel **311** δὲ² om. A **312** ∾ 214. 898 cf. Euen. 3 **313** cf. Scol. Att. 19, 2 Horati *dulce est desipere in loco* et *recepto dulce mihi furere est amico* Paul. ad Rom. 12, 15 χαίρειν μετὰ χαιρόντων **314** cf. Sol. 11, 2 **315** s = Sol. 4, 9 ss cf. 683 ss 1084 cum adn. **315** τοι: γὰρ Sol. **317** s cf. Eur. El. 941 ss **318** ἄλλοτέ τ᾽ A **319** cf. 1083 s ἔμπ. αἰ. 317 **320** ἔν τ᾽ ἀγαθοῖς κείμενος ἔν τε κακοῖς Stob. cf. 555. 355. 1029 al.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

εἰ δὲ θεὸc κακῶι ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάccηι,
    ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μήποτ᾽ ἐπὶ cμικρῆι προφάcει φίλον ἄνδρ᾽ ἀπολέccαι
    πειθόμενοc χαλεπῆι, Κύρνε, διαβολίηι.
εἴ τιc ἁμαρτωλῆιcι φίλων ἐπὶ παντὶ χολῶιτο,
    οὔποτ᾽ ἂν ἀλλήλοιc᾽ ἄρθμιοι οὐδὲ φίλοι
εἶεν· ἁμαρτωλαὶ γὰρ ἅμ᾽ ἀνθρώποιcιν ἕπονται
    θνητοῖc, Κύρνε· θεοὶ δ᾽ οὐκ ἐθέλουcι φέρειν.

Καὶ βραδὺc εὔβουλοc εἷλεν ταχὺν ἄνδρα διώκων,
    Κύρνε, cὺν εὐθείηι θεῶν δίκηι ἀθανάτων.

Ἥcυχοc ὥcπερ ἐγὼ μέccην ὁδὸν ἔρχεο ποccίν
    μηδ᾽ ἑτέροιcι δίδου, Κύρνε, τὰ τῶν ἑτέρων.

332 a Οὐκ ἔcτιν φεύγοντι φίλοc καὶ πιcτὸc ἑταῖροc·
b     τῆc δὲ φυγῆc ἔcτιν τοῦτ᾽ ἀνιηρότατον.

Μήποτε φεύγοντ᾽ ἄνδρα ἐπ᾽ ἐλπίδι, Κύρνε, φιλήcηιc·
    οὐδὲ γὰρ οἴκαδε βὰc γίνεται αὐτὸc ἔτι.

---

331 s adfert Stob. 3, 15 (π. ἀcωτίαc), 6 p. 477 H. [S] Θεόγνιδοc· 332ª Clem. Alex. 6, 8, 1 p. 427 St.

---

321 ὀπάcη Stob. SM ὀπάccει Theogn. det. ὀπάcει Stob. A cf. 149 322 κακίην Theogn. βίοτον Stob. 323 cf. 1281 Thuc. 1, 141, 1 ἐπὶ μεγάληι καὶ ἐπὶ βραχείαι . . . προφάcει 324 διαιβολίηι B. ad Hom. hymn. Merc. 56 παραιβόλα Ψ 132 παραιβάται Theogn. 1278ᵈ (950) καταιμάρψαc, sed Pind. Pyth. 2, 76 ἄμαχον κακὸν . . . διᾱβολιᾶν ὑποφάτιεc 325 χολοῖτο Kal. 326 π 427 ἡμῖν ἄρθμιοι sim. cadit 1312 327 ἅμ᾽ Emp. Homeri memor ἐν 𝔈 probat Kal. 329 εὐβούλωc ci. Friedl. ex Aesch. Choeph. 696 cf. Εὐβουλεύc deus (Kern) ad rem u. θ 329 330 εὐθείηι 𝔈 (cf. Sol. 3, 36 εὐθύνει δὲ δίκαc cκολιάc) praeter Ven. (ιθ e ras.) Hes. theog. 86 op. 36 al. ἰθείηιcι δίκηιcιν (Hom. hymn. Cer. 152) certamine in Patrocli honorem instituto Ὀδυcεὺc πολύμητιc Minerua adiutrice deuicit Ὀιλῆοc ταχὺν Αἴαντα (Ψ 754 ss) 331 ∼ 220 cum adn. ἥcυχοc om. Stob. 332 δίδου Stob. διδούc 𝔈 H.-W. 332ª·ᵇ ∼ 209 s 332ª οὐδείc τοι 209 contra Clem. Alex. cf. 529 332ᵇ eodem cadit 124 cum adnot. ἀνιηρότερον 210 333 ἀνέρ᾽ Herm. ἐπὶ ἐλπίδι ci. B. ad Pind. Pyth. 2, 49. sed cf. 823 334 αὐτὸc Kal. ἀcτὸc ci Kern ex 193

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Μηδὲν ἄγαν cπεύδειν· πάντων μέc᾽ ἄριcτα· καὶ οὕτωc,
Κύρν᾽, ἕξειc ἀρετήν, ἥν τε λαβεῖν χαλεπόν.

Ζεύc μοι τῶν τε φίλων δοίη τίcιν, οἵ με φιλεῦcιν,
τῶν τ᾽ ἐχθρῶν μεῖζον, Κύρνε, δυνηcόμενον.
χοὕτωc ἂν δοκέοιμι μετ᾽ ἀνθρώπων θεὸc εἶναι,
εἴ μ᾽ ἀποτειcάμενον μοῖρα κίχοι θανάτου.

Ἀλλά, Ζεῦ, τέλεcόν μοι, Ὀλύμπιε, καίριον εὐχήν·
δὸc δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ᾽, εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίην δ᾽ ἀντ᾽ ἀνιῶν ἀνίαc.
αἶcα γὰρ οὕτωc ἐcτί. τίcιc δ᾽ οὐ φαίνεται ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ᾽ ἔχουcι βίηι
cυλήcαντεc· ἐγὼ δὲ κύων ἐπέρηcα χαράδρην
χειμάρρωι ποταμῶι πάντ᾽ ἀποcειcάμενοc·
τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ᾽ ἐcθλὸc ὄροιτο
δαίμων, ὃc κατ᾽ ἐμὸν νοῦν τελέcειε τάδε.

Ἆ δειλὴ πενίη, τί μένειc προλιποῦcα παρ᾽ ἄλλον

---

**335 s** cf. 401 ss Hes. op. 694 Phocyl. 12 Crit. 5 Sodam. cum adnot. Soph. Phil. 620 Reitz. Ep. u. Sk. 66 **337** ad τίcιν cf. 345 **337 s** cf. Sol. 1, 5 s **338** δυνηcομένωι Schä. alii alia (-μένων, -μένην), neque tamen quidquam certi 'potentiorem quendam' Kal., an 'superiorem (esse)'? **339** ἀνθρώποιc ci. Br. **340** cf. 362 κίχηι 𝕮 (probat H.-W.) em. Herm. alterum hemistichium est Mimn. 6, 2 Sol. 12, 4 Tyrt. 5, 5 cf. 820 Callin. 1, 15 Sol. 19, 18 Simon. 135, 2 Arist. Pepl. 29, 2 **341** κ 483 ὦ Κίρκη, τέλεcόν μοι ὑπόcχεcιν Α 508 ἀλλὰ cύ πέρ μιν τῖcον, Ὀλύμπιε μητίετα Ζεῦ κύριον ci. Emp. **342** Π 40 δὸc δέ μοι **343** cf. 1325 Hes. theog. 55 ἄμπαυμά τε μερμηράων cf. Bacchyl. 5, 7 **345** ad τίcιc cf. 337 **347 s** χαράδρηc et χείμαρροι ποταμοί Δ 454. 452 Ε 87 s ποταμῶι . . . χειμάρρωι. cf. Anacr. 45 **349** μέλαν αἷμα Hom. pass., sed λ 98 πίεν αἷμα κελαινόν (232. 390) uel κελαινεφέc (153) Ξ 104 ἐπὶ δ᾽ ἀνέρεc ἐcθλοὶ ὄροιντο **349 s** Achaeis χαλεπὸc δέ τιc ὤρορε δαίμων (τ 201) **350** ο 203 ὅππωc οἱ κατὰ μοῖραν ὑποcχόμενοc τελέcειεν **351** cf. 649 **351 s** μένειc; et ἰέναι H.-W. **351 ss** cf. Hippon. 29 et Kaegi p. 36 s

ἄνδρ᾽ ἰέναι; μὴ δή μ᾽ οὐκ ἐθέλοντα φίλει·
ἀλλ᾽ ἴθι καὶ δόμον ἄλλον ἐποίχεο μηδὲ μεθ᾽ ἡμέων
αἰεὶ δυςτήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖςιν, ἐπεὶ κἀςθλοῖςιν ἔχαιρες,
εὖτέ ςε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν.
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ θεοῖςιν ἐπευχόμενος.
μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τε, Κύρν᾽, ἐπιφαίνων
παύρους κηδεμόνας cῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν᾽· ἀποτεινυμένου δ᾽ αὔξεται ἐξοπίςω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ᾽ ὑποχείριος ἔλθηι,
τεῖςαί μιν πρόφαςιν μηδεμίαν θέμενος.

Ἴςχε νόωι, γλώςςης δὲ τὸ μείλιχον αἰὲν ἐπέςτω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Οὐ δύναμαι γνῶναι νόον ἀςτῶν ὅντιν᾽ ἔχουςιν·
οὔτε γὰρ εὖ ἕρδων ἁνδάνω οὔτε κακῶς·
μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐςθλοί·
μιμεῖςθαι δ᾽ οὐδεὶς τῶν ἀςόφων δύναται.

Μή μ᾽ ἀέκοντα βίηι κεντῶν ὑπ᾽ ἄμαξαν ἔλαυνε
εἰς φιλότητα λίην, Κύρνε, προςελκόμενος.

---

**352** μὴ δή μ᾽ Bekk. μ᾽ ἦν δὴν A τί δή μ᾽ Vat. τί δὲ δή μ᾽ rel. μὴ δήν μ᾽ H.-W. ad 597 cf. 1243 δὴν δή similiter cadit 1094 **355ss** cf. Archil. 67[a], 4ss **355** cf. 1029 κἐςθλοῖςιν boni em. det. **356** οὔτε A **357** αὖθις A **358** θεοῖς A κ 533 ἐπεύξαςθαι δὲ θεοῖςιν eodem cadit 944 cf. 1116 **359** τε A τι pler. an δὲ cέ? ἐπιφαίνειν 𝕮 em. Br. **360** π. κ. 645 **361** Γ 50 μέγα π. **362** cf. 340 **363** δ᾽ om. A ο 448 χρυςὸν ὅτις χ᾽ ὑποχείριος ἔλθηι cf. Herod. 1, 106 **363s** cf. 815s 851s **364** cf. 152s νιν 𝕮 em. Schn. Kallim. 137 (Wil.[1]) **365** ἴςχι A νόωι A νόον rel. γλώςςης A γλώςςηι rel. ἐπέςτω A ἐπέςθω rel. **365s** cf. Ps.-Phocyl. 20 τ 42 **366** ∼ 1030 κραδίη 𝕮 fere omnes **367s** ∼ 1184[a. b] cf. 24 **367** Χ 382 νόον ὅ. ἔχ. cf. 814. 1016 **368** ἁνδρανω A **369s** nota μωμ- et μιμ- **369** sim. cadit | 319

Ζεῦ φίλε, θαυμάζω ϲε· ϲὺ γὰρ πάντεϲϲιν ἀνάϲϲειϲ
τιμὴν αὐτὸϲ ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ᾽ εὖ οἶϲθα νόον καὶ θυμὸν ἑκάϲτου·
ϲὸν δὲ κράτοϲ πάντων ἔϲθ᾽ ὕπατον, βαϲιλεῦ.
πῶϲ δή ϲευ, Κρονίδη, τολμᾶι νόοϲ ἄνδραϲ ἀλιτρούϲ
ἐν ταὐτῆι μοίρηι τόν τε δίκαιον ἔχειν,
ἤν τ᾽ ἐπὶ ϲωφροϲύνην τρεφθῆι νόοϲ ἤν τε πρὸϲ ὕβριν
ἀνθρώπων ἀδίκοιϲ᾽ ἔργμαϲι πειθομένων;

Οὐδέ τι κεκριμένον πρὸϲ δαίμονόϲ ἐϲτι βροτοῖϲιν,
οὐδ᾽ ὁδὸν ἥντιν᾽ ἰὼν ἀθανάτοιϲιν ἅδοι.

ἔμπηϲ δ᾽ ὄλβον ἔχουϲιν ἀπήμονα· τοὶ δ᾽ ἀπὸ δειλῶν
ἔργων ἴϲχοντεϲ θυμὸν ὅμωϲ πενίην
μητέρ᾽ ἀμηχανίηϲ ἔλαβον τὰ δίκαια φιλεῦντεϲ,
ἥ τ᾽ ἀνδρῶν παράγει θυμὸν ἐϲ ἀμπλακίην
βλάπτουϲ᾽ ἐν ϲτήθεϲϲι φρέναϲ κρατερῆϲ ὑπ᾽ ἀνάγκηϲ·
τολμᾶι δ᾽ οὐκ ἐθέλων αἴϲχεα πολλὰ φέρειν
χρημοϲύνηι εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάϲκει,
ψεύδεά τ᾽ ἐξαπάταϲ τ᾽ οὐλομέναϲ τ᾽ ἔριδαϲ,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἣ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

---

**373** ss cf. **731** ss **743** ss Sol. 1, 25 ss **373** Callim. epigr. 6 Ζεῦ φίλε (A. P. 5, 108. 166 Kaegi p. 69 s) υ 112 Ζεῦ πάτερ, ὅϲ τε θεοῖϲι καὶ ἀνθρώποιϲιν ἀνάϲϲειϲ sim. al. ι 552 (Ζεὺϲ) ὃϲ πᾶϲιν ἀνάϲϲει Α 288 πάντεϲϲι δ᾽ ἀνάϲϲειν **374** α 117 τιμὴν δ᾽ αὐτὸϲ ἔχοι **375** ν. κ. θ. Δ 309 **378** τὸν δε A **379** τερφθῆι 𝕮 em. Neander et Br. cf. Apoll. Rhod. 4, 618 **380** ∼ Sol. 1, 12. 3, 11 **381** s seclus. Emp. Wil.[1] H.-W. Friedl., qui **379** s uersibus **383** ss excipi uoluerunt **381** ἐϲτι plerique ὅϲτιϲ A **382** τιϲ editor. cum uno e det. cf. 912 **382** s continuauit Kal., **380. 383** ego **383** Pind. fr. 107, 7 s ἀπήμονα ἐϲ ὄλβον **384** ἴϲχονται Vat. ἴϲχωνται det. pauci **384** s cf. Alc. 142 Herod. 8, 111 **385** cf. 392 **386** cf. 404. 630. 865 **387** Ο 724 βλάπτεν φρέναϲ . . . Ζεύϲ cf. 195 Hes. theog. 517 ξ 178 κ 273 κρατερὴ δέ μοι ἔπλετ᾽ ἀνάγκη num post **387** lacuna statuenda est? **388** α 229 al. αἴϲχεα πολλά cf. 398 **388** s **391** cf. 651 **389** cf. Tyrt. 6, 8 cum adn. **389** s cf. ξ 157 Eur. El. 376 **390** cf. Hes. theog. 205 **392** cf. 140

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Ἐν πενίηι δ᾿ ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ᾿ ἂν δὴ χρημοσύνη κατέχηι·
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὗ τέ περ αἰεί
ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύηι·
τοῦ δ᾿ αὖτ᾿ οὔτε κακοῖς᾿ ἕπεται νόος οὔτ᾿ ἀγαθοῖσιν.
τὸν δ᾿ ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαι δὲ φίλους φεύγειν τ᾿ ὀλεσήνορας ὅρκους
ἐντράπελ᾿ ἀθανάτων μῆνιν ἀλευάμενος.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ᾿ ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων· πολλάκι δ᾿ εἰς ἀρετήν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ἦι κακά, ταῦτ᾿ ἀγάθ᾿ εἶναι
εὐμαρέως, ἃ δ᾿ ἂν ἦι χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες· ἐγὼ δέ τοι αἴτιος οὐδέν,
ἀλλ᾿ αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσηι ἀμείνω
αἰδοῦς, ἥ τ᾿ ἀγαθοῖς᾿ ἀνδράσι, Κύρν᾿, ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ὧι γνώμη θ᾿ ἕπεται, Κύρνε, καὶ ὧι δύναμις.

---

**393** cf. H. Fränkel NGG 1924, 98[6] eodem cadunt Ζ 479 Η 114 al. Hes. op. 19 **395** ουτε A expl. Bekk. **396** ἐμπεφυίηι A Α 513 ἐμπεφυυῖα cf. Semon. 29, 5 **398** cf. 388. 445s 658 τὰ καὶ τὰ dictio Pindar. cf. Pyth. 4, 23 al. (Friedl.) **398** ss conglutinauit H.-W. **400** ἐντραπελ᾿ A (cf. 290 ἐκτραπέλοισι νόμοις et Pind. Pyth. 4, 105) ἔντρεπε δ᾿ rel. εὐτράπελ᾿ Bekk. ἐντρέπευ Br. B. ἐντράπευ Kal. ἀλευάμενον A retinent H.-W. Friedl., ille post ὅρκους lacuna statuta cum B., hic ante 399 Ε 444 μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος **401** ss cf. 335s cum adn. **403** s cf. Hes. op. 667s Soph. Ant. 620ss **404** cf. 386. 630 **407** φίλταθ᾿ ὅσων ci. B.[3] φῆλος ἐὼν ad Hesych. ʽφῆλονʼ B.[4] conlato Ar. pac. 1165 cum schol. σοι A **408** ἔτυχες: ειαμεινω A errore e uersu sequenti **409** καταθήσει AO -σηι det. cf. 238. 276 et Xenoph. Cyr. 8, 2, 15 θησαυροὺς ... καταθέσθαι **409** s ∼ 1161s cf. γ 24 Plat. leg. 5, 729[b] **410** cf. 635 ad rem cf. Ο 661s

Πίνων δ᾽ οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥςτ᾽ εἰπεῖν δεινὸν ἔπος περὶ coῦ.

Οὐδέν᾽ ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιςτὸν ἑταῖρον, ὅτωι μή τις ἔνεςτι δόλος·
ἐς βάςανον δ᾽ ἐλθὼν παρατρίβομαι ὥςτε μολύβδωι
χρυςός, ὑπερτερίης δ᾽ ἄμμιν ἔνεςτι λόγος.

Πολλά με καὶ ςυνιέντα παρέρχεται· ἀλλ᾽ ὑπ᾽ ἀνάγκης
ςιγῶ γινώςκων ἡμετέρην δύναμιν.

Πολλοῖς᾽ ἀνθρώπων γλώςςηι θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι καί ςφιν πόλλ᾽ ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐςθλὸν δ᾽ ἐξελθὸν λώιον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοιςιν ἄριςτον

---

**421—424** Stob. 3, 36 (π. ἀδολεςχίας), 1 p. 690 s H. [SMA] Θεόγνιδος· **425—428** Sext. Empir. Pyrrh. hypot. 3, 231 Stob.[1] 4, 52 (π. ζωῆς), 30 p. 1081 H. [A] Θεόγνιδος· Epicvr. ap. Diog. Laert. 10, 126 ὁ δὲ παραγγέλλων τὸν μὲν νέον καλῶς ζῆν, τὸν δὲ γέροντα καλῶς καταςτρέφειν, εὐήθης ἐςτὶν οὐ μόνον διὰ τὸ

---

**413** με det. μετ᾽ A (i. με F-?) μεγ᾽ Vat., unde οὐδ᾽ ἐμέ γ᾽ Herm. Kal. cf. 470 **414** ἐξαρεῖ ci. Ahr. Emp. ex 630 ςεῦ Hi.-Cr. **415—418** = 1164e—h **417** μολίβδωι 𝔈 H.-W. **417 s** ∼ 1105 cf. 447 ss et H.-W. ad l. **418** Hesych. ὑπερτερίηιςι· νεωτεριςμοῖς. ὑπερηφανίαις ἄπεςτι B. contra 1164h νόος det. ex 1283. 632 **419** cf. 669 **419 s** cf. 613 s **420** ὑμετέρην ci. Herm. **421 s** θύρα οὐκ ἐπίκειται ἁρμοδίη Stob. **421** ζ 19 θύραι δ᾽ ἐπίκεινται φαειναί cf. A. P. 11, 304, 5 et clauem linguae (supra 19, infra **815**. 847 et Crit. 3 cum adn.) **422** π. ἀλάλητα πέλει Stob. 𝔈 π. ἀλάλητα μέλει Geel πολλὰ λαλητὰ πέλει statuit Buech. **423** ἔνδοθεν ἦλθεν Stob. **423 s** Soph. Ai. 362 al. εὔφημα φώνει **424** ἐξελθεῖν Stob. ἐξελθὸν det. plerique ἐξελθὼν A Vat. pauci det. uersum uix corruptum alii aliter sanare frustra conati sunt ἢ τὸ κακόν utpote glossema uncis inclus. H.-W. **425** πάντων Theogn. 𝔈 Clem. (Theodoret.) ἀρχὴν Sext. Stob.[1, 2] Certam. Homeri (ubi in Pap. Fl.-P. [ἐ]πιχθονίοιςι [φέριςτον] Wil.) Diogen. Suid. **425 ss** de his uersibus et de sententia in litteris graecis diuolgata, quam Silenum olim Midae tradidisse ferunt, disseruerunt multi, in primis Vahlen Ges. philol. Schr. 1 (Lips. 1911) 126 s H.-W. p. 258 ss

μηδ᾿ ἐcιδεῖν αὐγὰc ὀξέοc ἠελίου,
φύντα δ᾿ ὅπωc ὤκιcτα πύλαc ᾿Αίδαο περῆcαι
καὶ κεῖcθαι πολλὴν γῆν ἐπαμηcάμενον.

Φῦcαι καὶ θρέψαι ῥᾶιον βροτὸν ἢ φρέναc ἐcθλάc
ἐνθέμεν· οὐδείc πω τοῦτό γ᾿ ἐπεφράcατο,
ὅcτιc cώφρον᾿ ἔθηκε τὸν ἄφρονα κἀκ κακοῦ ἐcθλόν.
εἰ δ᾿ ᾿Αcκληπιάδαιc τοῦτό γ᾿ ἔδωκε θεόc,
ἰᾶcθαι κακότητα καὶ ἀτηρὰc φρέναc ἀνδρῶν,
πολλοὺc ἂν μιcθοὺc καὶ μεγάλουc ἔφερον.

---

τῆc ζωῆc ἀcπαcτόν, ἀλλὰ καὶ διὰ τὸ τὴν αὐτὴν εἶναι μελέτην τοῦ καλῶc ζῆν καὶ τοῦ καλῶc ἀποθνήιcκειν. πολὺ δὲ χεῖρον καὶ ὁ λέγων, κάλλιcτον μὲν μὴ φῦναι· φύντα — περῆcαι. εἰ μὲν γὰρ πεποιθὼc τοῦτό φηcι, πῶc οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; κτλ. **425—427** Clem. Alex. strom. 3, 15, 1 p. 202 St. (Theodoret. graec. aff. cur. 5, 12 p. 125) **425. 427** Certam. Hom. et Hes. p. 37 Wil. (ubi una p. 45 s Pap. Flinders-Petrie edita est) Stob.$^2$ 4, 52 (ἔπαινοc θανάτου), 22 p. 1079 s H. [SA] ἐκ τοῦ ᾿Αλκιδάμαντοc Μουcείου· Svid. s. u. ἀρχὴν ἰᾶcθαι Ps.-Diogenian. 3, 4 s cf. Phot. pinacogr. p. 50 Elt. Soph. Oed. C. 1224 cum Schol. Eur. fr. 285. 908 N.$^2$ **432 s** Clearch. ap. Athen. 6, 256$^c$ (ὧν ἰατρεῦcαι τὴν ἄγνοιαν οὐδ᾿ ᾿Αcκληπιάδαιc τοῦτό γε νομίζω δεδόcθαι) Plvt. quaest. Plat. 1, 3 p. 1000$^c$ (ὁ τοῦ μεγίcτου τῶν κακῶν, ἀπάτηc καὶ κενοφροcύνηc, ἀπαλλάττων λόγοc) Dio Prvs. 1, 8 (I 2 Arn.) ὥc φηcιν ὁ ποιητήc· **434 ss** Plat. Men. 95$^e$ ἐν ἄλλοιc δέ

---

**426** ἐcορᾶν Clem. (Theodoret.) ὀξέαc Stob.$^1$ cod. A P 371 s αὐγὴ ἠελίου ὀξεῖα (650 Pind. Ol. 3, 24) Hes. op. 414 μένοc ὀξέοc ἠελίοιο (Hom. hymn. Apoll. 2, 196) **427** cf. Plut. consol. ad uxor. 10 p. 611$^f$ ὅμωc Certam. 𝕮 contra Pap. Ε 646 π. ᾿Α. περήcειν (Ψ 71) **428** γ. ἐπ. Herod. 8, 24 (Friedl.) γαῖαν ἐφεccάμενον Sext., unde γῆν ἐπιεccάμενον B. ad Pind. Nem. 11, 16 (γᾶν ἐπιεccόμενοc). sed cf. Apoll. Rhod. 1, 1305 **429** φαῖcαι A ψ 325 al. ἔτικτε καὶ ἔτρεφε ῥῆιον Hi.-Cr. **429 s** cf. Hor. epist. 1, 18, 100 P 470 ἐξέλετο φρέναc ἐcθλάc Ι 639 ἵλαον ἔνθεο θυμόν **430** πω om. A cf. 706 et Ε 665 τὸ μὲν οὔτιc ἐπεφράcατ᾿ **431** ὅτιc A 'ἔθηκε de conatu' Kal., an idem fere quod ὥcτε . . . θεῖναι? (Friedl.) κἀκ κακοῦ Vat. κἀκοῦ A καὶ κακοῦ (uel κακὸν) rel. cf. 577 ψ 11 ss **432** εἰ δ᾿ A οὐ δ᾿ Vat. cum testibus **433** ἀτειρὰc boni **432 ss** testes secutus hunc uersuum ordinem olim statuit B.: οὐδ᾿ ᾿Αcκλ. — **433** . . . + **435**. **434** . . . + **436** κοὔποτ᾿ ἂν ἐξ ἀγαθοῦ κτλ. sed cf. H.-W. p. 260

εἰ δ᾽ ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔποτ᾽ ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοιςι ςαόφροςιν· ἀλλὰ διδάςκων
οὔποτε ποιήςει τὸν κακὸν ἄνδρ᾽ ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῆιςιν,
τῶν δ᾽ αὑτοῦ ἰδίων οὐδὲν ἐπιςτρέφεται.

Οὐδεὶς γὰρ πάντ᾽ ἐςτὶ πανόλβιος· ἀλλ᾽ ὁ μὲν ἐςθλός
τολμᾶι ἔχων τὸ κακὸν κοὐκ ἐπίδηλος ὁμῶς,
δειλὸς δ᾽ οὔτ᾽ ἀγαθοῖςιν ἐπίςταται οὔτε κακοῖςιν
θυμὸν ἔχων μίμνειν. ἀθανάτων δὲ δόςις
παντοία θνητοῖςιν ἐπέρχεται· ἀλλ᾽ ἐπιτολμᾶν
χρὴ δῶρ᾽ ἀθανάτων, οἷα διδοῦςιν, ἔχειν.

Εἴ μ᾽ ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ᾽ ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύςεται ἡμετέρης,

---

γε ὀλίγον μεταβὰς [praecedunt uu. 33 ss] ʻεἰ δ᾽ ἦν ποιητόν φηςι κ. ἔ. ἀ. ν.ʼ, λέγει πῶς ὅτι ʻπολλοὺς ἂν μ. κ. μ. ἔφ.ʼ οἱ δυνάμενοι τοῦτο ποιεῖν (uelut οἱ Ἀςκληπιάδαι 432), καὶ ʻοὔ ποτ᾽ ἂν ἐξ ἀγαθοῦ — ἀγαθόν [438]ʼ ἐννοεῖς ὅτι αὐτὸς αὑτῶι πάλιν περὶ τῶν αὐτῶν τἀναντία λέγει; — φαίνεται (de hoc Platonis loco cf. Pohl. p. 412 s, 2) cf. Arist. eth. Nicom. 10, 10 p. 1179[b], 4 ss εἰ μὲν οὖν ἦςαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ ποιῆςαι ἐπιεικεῖς, πολλοὺς ἂν μ. κ. μ. δικαίως ἔφερον κατὰ τὸν Θέογνιν, καὶ ἔδει ἂν τούτους πορίςαςθαι Heliodor. paraphr. ad l. p. 227, 28 Heylb. Michael. Ephes. ad l. p. 605 Heylb. **441** Hesych. πανόλβιος· παμμακάριςτος

---

**436** ἐγένετο Plat. 𝕮 **437** Ψ 295 π. μ. Φ 462 s οὐκ ἄν με ςαόφρονα μυθήςαιο ἔμμεναι **438** ποιήςεις 𝕮 (H.-W.) praeter A **439** s cf. T. W. Allen ClQuart. 1930 p. 189 **440** αὐτοῦ 𝕮 (H.-W.) κίδιον boni (i. Ϝιδίον?) ἴδιον rel. em. Jacobs γ᾽ ἰδίων Friedl. φίλιον ci. Kal. eodem uel sim. cadunt A. P. 11, 319, 6. 5, 47, 6 **441** cf. Bacchyl. 5, 54 παν. Hom. hymn. Bacch. 54 **441—446** = 1162[a–f] **442** ἐπίδηλον 1162[b] **443** s cf. Archil. 67 a **444** θ. ὁμῶς μίςγειν 1162[d] δὲ Vat. cum parte det. τε A **444** ss cf. Ω 527 s Γ 65 s α 353 **444** s δόςεις παντοῖαι . . . ἐπέρχονται 𝕮 em. A. Corsenn (cf. Maas Metr.[2] p. 33 Croen. p. 315) **445** ʻπάνθ᾽ οἷα . . . ἐπέρχεται Usen.ʼ Be. **447** Θ 83 ἄκρην κὰκ κορυφήν

εὑρήσεις δέ με πᾶσιν ἐπ᾽ ἔργμασιν ὥσπερ ἄπεφθον
  χρυσὸν ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνωι,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰός
  οὐδ᾽ εὐρώς, αἰεὶ δ᾽ ἄνθος ἔχει καθαρόν.

Ὤνθρωπ᾽, εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνοίης
  καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου,
πολλοῖς᾽ ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν
  οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
  οὐ γὰρ πηδαλίωι πείθεται ὡς ἄκατος,
οὐδ᾽ ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμά
  πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μήποτ᾽ ἐπ᾽ ἀπρήκτοισι νόον ἔχε μηδὲ μενοίνα
  χρήμασι, τῶν ἄνυσις γίνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτε τι δειλόν
  οὔτ᾽ ἀγαθόν· χαλεπῶι δ᾽ ἔργματι κῦδος ἔπι.

Ἀμφ᾽ ἀρετῆι τρίβου καί τοι τὰ δίκαια φίλ᾽ ἔστω,
  μηδέ σε νικάτω κέρδος, ὅ τ᾽ αἰσχρὸν ἔηι.

---

**457—460** Athen. 13, 560ª τοῦ Μεγαρικοῦ ποιητοῦ παραινέσαντος· Stob. 4, 32 (π. γάμου), 110 p. 542 H. [SMA] Θεόγνιδος· Eustath. in Il. 1345, 56 in trimetros iambicos transposuit Theophilus comicus poeta [fr. 6 II 475 K.] apud Athen. l. c. **457. 458** Clem. Alex. strom. 6, 14, 5 p. 434 St.

---

**449** s cf. 1105 s 417 Ibyc. 5, 41 ss **450** χρυσόν, H.-W. **453** cf. 595 ἄνθρωπ᾽ **454** s ἐγένευ Hi.-Cr. πολιτέων Hi.-Cr. **457** τοι om. Eustath. σύμφρον A σύμφορος Vat. (?) Eustath. χρήσιμόν Clem. ἐστι Vat. plerique ἔνεστι A alii om. Eustath. νέα γυνὴ Clem. γεραιῶι Athen. E Eustath. **458** Hom. hymn. Apoll. 2, 240 οὐ πηδαλίοισιν ἐπείθετο νηῦς εὐεργής **459** ἄγκυραν Athen. 𝔈 Eustath. ἀπορρήξασαι Stob. S Z 507 δεσμὸν ἀπορρήξας (O 264) **461** νόημ᾽ B.³ sed β 92 al. νόος δέ οἱ ἄλλα μενοινᾶι σχὲς ci. B.⁴ **462** B 347 ἄνυσις δ᾽ οὐκ ἔσσεται αὐτῶν eodem cadunt 170. 798. 1182 Mimn. 10, 2 **463** δειλὸν defendit Blaß RhM. 62, 269 καλὸν B. alii οὔτ᾽ ἐπίδηλον Hecker H.-W. **465** cf. ad 197 Pind. Pyth. 11, 54 ἀμφ᾽ ἀρεταῖς τέταμαι τρίβευ Hi.-Cr. τοι A σοι rel. **466** cf. Hes. op. 352

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν
  μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι,
μηδ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅντιν' ἂν ἡμῶν
  θωρηχθέντ' οἴνωι μαλθακὸς ὕπνος ἕληι,
μηδὲ τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
  πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.
τῶι πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
  οὐ πάσας νύκτας γίνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
  ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.
ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
  οὔτε τι γὰρ νήφω οὔτε λίην μεθύω.
ὃς δ' ἂν ὑπερβάλληι πόσιος μέτρον, οὐκέτι κεῖνος
  τῆς αὑτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου·
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά,
  αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύηι,

---

**467. 469** (— Σιμ.) Pherecrat. in Chirone ap. Athen. 8, 364c ὃ δ' ἄχθεται αὐτὸς ὁ θύων Τῶι κατακωλύοντι καὶ εὐθὺς ἔλεξ' ἐλεγεῖα· **477—487** Athen. 10, 428c·d (e Theophrasti περὶ μέθης? Kai.) καὶ Θέογνις δέ φησιν· **479—486** Stob. 3, 18 (π. ἀκρασίας), 13 p. 515s H. [SMA] Θεόγνιδος·

---

**467—496** cf. Blaß l. c. Euen. 1 Xenophan. 1 **467** τῶνδ' ℭ μήτ' Pherecr. **467s** cf. Ω 218 ο 68. 72s **469** μήθ' Pherecr. idem C. appellatur 667. 1349 ἂν A om. rel. ἡμέων Hi.-Cr. **469s** τ 511 ὅν τινά γ' ὕπνος ἕληι γλυκερός **470** cf. 413. 508. 842. 884 Anacr. 147 B.4 Pind. fr. 72 Ar. Ach. 1134 Etym. Magn. s. u. θώραξ p. 460, 36 Hes. fr. 121 Rz. μ. ὕ. **472** ∼ Euen. 8 (πρᾶγμ'), ubi legas adnot. **473** παρ. Hom. **474** in ἁ. π. cadit Sol. 14, 4 cf. 722 **475** μ. οἴ. C 545 al. ad rem cf. Euen. 2, 1 **476** λ. solus Theogn. η 138 ὅτε μνησαίατο κοίτου οὔκαδ' A **477** ἥκω Athen. λήξω Emp. ἕξω Ahr. intellegas '*domum reuertar*'. aliter H.-W. (ἥξω i. οἴνου) **477s** cf. Xenophan. 1, 17s **478** ∼ 840 οὔτε τι νήφων εἴμ' οὔτε λίαν μεθύων Athen. οὔτ' ἔτι alii **479** cf. Hor. carm. 1, 18, 7 οὐκέτ' ἐκεῖνος Athen. Stob. **480** αὐτῆς Athen. A γνώμης Athen. AC **481** νήφουσι Theogn. ℭ praeter A: Stob. S. sed cf. 627 et σώφροσι Hesych. νήφονες· νήφοντες **482** θ' ἔρδων Athen. AC

τὸ πρὶν ἐὼν ϲώφρων, τότε νήπιοϲ. ἀλλὰ ϲὺ ταῦτα
γινώϲκων μὴ πῖν᾽ οἶνον ὑπερβολάδην,
ἀλλ᾽ ἢ πρὶν μεθύειν ὑπανίϲταϲο — μή ϲε βιάϲθω
γαϲτὴρ ὥϲτε κακὸν λάτριν ἐφημέριον —
ἢ παρεὼν μὴ πῖνε. ϲὺ δ᾽ ‘ἔγχεε’ τοῦτο μάταιον
κωτίλλειϲ αἰεί· τοὔνεκά τοι μεθύειϲ·
ἣ μὲν γὰρ φέρεται φιλοτήϲιοϲ, ἣ δὲ πρόκειται,
τὴν δὲ θεοῖϲ ϲπένδειϲ, τὴν δ᾽ ἐπὶ χειρὸϲ ἔχειϲ·
ἀρνεῖϲθαι δ᾽ οὐκ οἶδαϲ. ἀνίκητοϲ δέ τοι οὗτοϲ,
ὃϲ πολλὰϲ πίνων μή τι μάταιον ἐρεῖ.
ὑμεῖϲ δ᾽ εὖ μυθεῖϲθε παρὰ κρητῆρι μένοντεϲ,
ἀλλήλων ἔριδοϲ δὴν ἀπερυκόμενοι,
εἰϲ τὸ μέϲον φωνεῦντεϲ ὁμῶϲ ἑνὶ καὶ ϲυνάπαϲιν·
χοὔτωϲ ϲυμπόϲιον γίνεται οὐκ ἄχαρι.

Ἄφρονοϲ ἀνδρὸϲ ὁμῶϲ καὶ ϲώφρονοϲ οἶνοϲ, ὅταν
πίνηι ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον. [δή

Ἐμ πυρὶ μὲν χρυϲόν τε καὶ ἄργυρον ἴδριεϲ ἄνδρεϲ
γινώϲκουϲ᾽, ἀνδρὸϲ δ᾽ οἶνοϲ ἔδειξε νόον
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,

---

**497—508** Stob. 3, 18 (π. ἀκραϲίαϲ), 14. 15 (τοῦ αὐτοῦ). 16 p. 516 s H. [SMA] **500** Athen. 2, 37ᵉ inde ab ἀνδρόϲ, ubi οἶνοϲ errore om. 𝕮

---

**483** 502 καὶ πρὶν ἐόντα ϲοφόν τε καὶ ἤπιοϲ Athen. **484** ὑπ. solus Theogn. **485** ss cf. 627 s **485** πρὶν μεθύειν ἄρξηι δ᾽ ἀπανίϲταϲο Athen. μεθύων Stob. 𝕮 cf. Ps.-Isocr. ad Demonic. 32 μὴ δὲ β. Stob. 𝕮, unde Herm. coniecit μηδὲ β. γαϲτήρ ϲ᾽ **486** contulit H.-W. Plut. Demetr. 1, 2 **491** αἰνεῖϲθαι A **491** ss cf. Xenophan. 1, 19 ss **492** πολλὸν A **493** cf. 1047. 981 Anacr. 96 **493** s sim. Tyrt. 6. 7, 15 de militibus **494** ἔριδαϲ det. Hi.-Cr. δῆν (δὴν) 𝕮, unde ἔριδοϲ δήνε᾽ ἐρυκ. Mekler τῆλ᾽ Stadtm. **495** ϲυνάπατι A ϲυνάπαντι Kal. **497** ὁμῶϲ: ἄγαν Stob. **497** s lemmate omisso u. 486 adnectunt Stob. 𝕮 **498** πίνητ᾽ A (i. πίνηι) ὑπερμετρον A. sed cf. 501 et Panyasin ap. Athen. 2, 37ᵇ (fr. 13) κ. . . . ν. 580 **499** ἐμ A ἐν rel. Ζ 232 s ὡϲ δ᾽ ὅτε τιϲ χρυϲὸν περιχεύεται ἀργύρωι ἀνὴρ ἴδριϲ κ 35 χρ. τε καὶ ἄ. eodem uersus loco in ἴ. ἄ. cadit η 108 **500** cf. Alc. 104. 66 Simon. 99 **501** πινυτή περ ἐοῦϲα υ 131 al. τὸν—πίνων: κακότητα δὲ πᾶ-

ὥcτε καταιcχῦναι καὶ πρὶν ἐόντα cοφόν.

Οἰνοβαρέω κεφαλήν, Ὀνομάκριτε, καί με βιᾶται
οἶνος, ἀτὰρ γνώμης οὐκέτ᾽ ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει. ἀλλ᾽ ἄγ᾽ ἀναcτάc
πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει
καὶ νόον ἐν cτήθεccι· δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς καὶ μέγ᾽ ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν· ἢν δέ τις αὐτόν
πίνηι ἐπιcταμένως, οὐ κακόν, ἀλλ᾽ ἀγαθόν.

Ἦλθες δή, Κλεάριcτε, βαθὺν διὰ πόντον ἀνύccας
ἐνθάδ᾽ ἐπ᾽ οὐδὲν ἔχοντ᾽, ὦ τάλαν, οὐδὲν ἔχων . . .
νηός τοι πλευρῆιcιν ὑπὸ ζυγὰ θήcομεν ἡμεῖς,
Κλεάριcθ᾽, οἷ᾽ ἔχομεν χοῖα διδοῦcι θεοί.
517 οὔτε τι τῶν ὄντων ἀποθήcομαι, οὔτε τι μείζω
cῆς ἕνεκα ξενίης ἄλλοθεν οἰcόμεθα·
515 τῶν δ᾽ ὄντων τἄριcτα παρέξομεν· ἢν δέ τις ἔλθηι
cεῦ φίλος ὤν, κατάκεις᾽, ὡς φιλότητος ἔχεις.

---

**509 s** Artemidor. Onirocr. 1, 66 Galen. ὅτι ταῖς τοῦ cώματος κράcεcιν κτἕ. uol. 2 p. 40, 20 ed. Mue. Clem. Alex. strom. 6, 11, 5 p. 430 St. Stob. 3, 18 (π. ἀκραcίας), 11 p. 515 H. [SMA] τοῦ αὐτοῦ·

---

cαν ἐλέγχει Stob. ἤρατο cf. 976 et B.⁴ ad l. **502** καταιcχύνειν Stob. πρὶν: τὸν Stob. cf. 483 **503** βεβιᾶται A **504** γλώccης B., uide an recte propter 506 s et 1185 s et fr. mel. adesp. Alexandr. 13 cf. 1242 οὐκέτ᾽ ἔcηι ταμίης et Alc. 19 **505** cf. 843 **506** πειρήcω Stob. ἔχη Stob. SA **507** υ 366 καὶ ν. ἐν cτ. **507 s** cf. 841 s **508** cf. 470 μ. ὄ. Hom. hymn. Ven. 248 ἔχων Kal. cf. 546 αἰcχρὸν ὄ. ἔ. sim. cadit 1378 **509** πολὺς L Clem. Stob. κακὸς Artemidor. Clem. Stob. **509 s** ∼ 211 s αὐτὸν πίνηι: αὐτῶι χρῆται Clem. **510** κακὸς … ἀγαθός 212 Artemidor. Stob. **511** Hom. hymn. Merc. 337 πολὺν διὰ χῶρον ἀνύccας cf. 691 ad rem u. T. W. Allen ClQuart. 1930, p. 189 s **513** τοι 𝕮 πρὸς Leutsch cf. ν 20 s **515** τὰ ἄριcτα 𝕮 em. Bekk. Κλεάριcτε? Kai. δέ τις plerique δι ης A **515 s** et **517 s** traiecit Herw. uetant Fraccaroli Friedl. cf. H.-W. ad l. ad rem cf. ο 280 s **516** κατάκεις᾽ 𝕮 διάκειcο explic. Kal. κατερεῖς Peppm. κατάειφ᾽ Sitzl. H.-W. φιλοτητο A **517** μεῖζον det.

ἢν δέ τις εἰρωτᾶι τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν·
    ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ᾽ εὖ,
ὥςθ᾽ ἕνα μὲν ξεῖνον πατρώιον οὐκ ἀπολείπειν,
    ξείνια δὲ πλέον ἔςτ᾽ οὐ δυνατὸς παρέχειν.

Οὔ ςε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶςι μάλιστα·
    ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.

Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖςιν ἔοικεν,
    ἡ πενίη δὲ κακῶι cύμφορος ἀνδρὶ φέρειν.

Ὦ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
    τοῦ μὲν ἐπερχομένου, τῆς δ᾽ ἀπονιςομένης.

Οὐδέ τινα προὔδωκα φίλον καὶ πιςτὸν ἑταῖρον,
    οὐδ᾽ ἐν ἐμῆι ψυχῆι δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ᾽ ἀκούςω
    αὐλῶν φθεγγομένων ἱμερόεςςαν ὄπα.

Χαίρω δ᾽ εὖ πίνων καὶ ὑπ᾽ αὐλητῆρος ἀείδων

---

523 s Stob. 4, 31 (ἔπαινος πλούτου), 1 p. 733 H. [SMA corp. Par. 739 Elt.] Θεόγνιδος· 525 s Stob. 4, 31 (ἔπαινος πλούτου), 3[a] p. 734 H., ubi continuat 699—702 [SMA] 527 s Stob. 4, 50 (π. γήρως), 44 p. 1039 H. [SMA] (Θεόγνιδος·) A. P. 9, 118 [Βηςαντίνου]

---

521 ἀποπέμπειν Peppm. 522 πλεόνεςς᾽ det. pauci: uide an recte 523 βροτοὶ: θεοὶ Stob. corp. Par., unde θεῶν ci. Trinc. probat H.-W. 523 s cf. 1117 s 524 ἦ: cὺ Stob. corp. Par. ('ad Theogn. 373'? Hense) 524 s continuat Kal. 525 τοι: Ζεὺς Gesn.[1] ἔοικεν: ἔδωκεν SMA 525 s cf. F. Hübner De Pluto Diss. Hal. 23 (1914), 246 ss 526 κακῶι: cοφῶι Stob. gnomologum secutus, qui stoici cuiusdam uestigia pressit. contulit Hense Chrys. fr. mor. 167 Arn. cύμφορον Stob. 527 Λ 404 ὤ μοι ἐγώ (Theogn. 1107) cf. 768 et Hes. theog. 225 γῆράς τ᾽ οὐλόμενον (γῆρας) οὐλόμενον Hom. hymn. Ven. 247 527 s cf. 271 ss cum adn. 1131 s γῆρας ἐπερχόμενον Sol. 14, 10 528 ἀπονιςςομένης Stob. SM ἀπονιςςαμένης Stob. A 529 οὐδέ τινα Vat. οὐδένα A οὐδένα ⟨πω⟩ B. H.-W. 209 φίλος κ. π. ἑ. π. ἑ. Hom. pass. in fine hexametri cf. Catull. 30, 3 531 ἀκούω Emp. 532 cf. 761 Hom. hymn. Merc. 452 ἱμερόεις βρόμος αὐλῶν 533 c 408 εὖ δαιςάμενοι ἀείδων Pierson ex 825. 1065 et Archil. 123 B.[4] (ἄιδων ὑπ᾽ αὐλητῆρος): ἀκούων 𝔈, quod def. Friedl. 533 s ad rem cf. Allen l. c. (ad 511) p. 190 et Archil. 51, 51 ss

χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
  ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει·
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐθ' ὑάκινθος,
  οὐδέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνήρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὑτῶι,
  εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω, μὴ τήνδε πόλιν, Πολυπαΐδη, ὕβρις
  ἥ περ Κενταύρους ὠμοφάγους ὄλεσεν.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
  Κύρνε, δίκην ἶσόν τ' ἀμφοτέροισι δόμεν, . . .
μάντεσί τ' οἰωνοῖς τε καὶ αἰθομένοις' ἱεροῖσιν,
  ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο· τῶι δὲ δικαίωι
  τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
  Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ' ἵπποις' ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·

---

**535 s** Stob. 4, 19 (π. δεσποτῶν καὶ δούλων), 36 p. 428 H. [SMA] Θεόγνιδος· Philo πάντα σπουδαῖον εἶναι ἐλεύθερον II 469 M. ἐκεῖνα εὖ πεφώνηται·

---

**534** cf. Ariston. 1, 15 **535** εὐθεῖα det. Stob. Philo cf. Geyso p. 43 **536** ἀεὶ Stob. Philo cf. Tyrt. 8, 2 **537** οὐδ' Bekk. **538** οὔτε Bekk. H.-W., sed οὐδὲ fortius: Archil. 67[a], 4 μήτε . . . μηδέ et Pind. Pyth. 10, 11 s τε . . . δὲ cont. Friedl. **539** αὑτῶι A αὐτῶι rel. Auson. id. 7 contulit Cr. **540** = 554, unde seclusit Hart. **541 s** cum 1103 s coniunxit Peppm., coniunctos auctor distichi 603 s legisse uidetur Crusio **542** ὀλέσηι det. **543 ss** cf. 805 ss 945 s ante **545** unum distichon uel plura desiderant editor. cf. Pohl. p. 430, 2 Λ 775 ἐπ' αἰθ. ἱ. (μ 362 Hes. op. 755) **546** eodem fere cadit 1378 cf. 508 μέγ' ὄ. ἔ. **547** πω (cf. 1373): πῶς Kal. τοι ci. Cr. παῖ ci. B. **548** εὐγεργεσίης A (i. εὐF-, idem 574) **549** π. π. Γ 165. Χ 487 π. . . . ἔγειρεν Υ 31 **551** ἵππους A Τ 393 s ἐν δὲ χαλινοὺς . . . ἔβαλον

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG

δήιων γάρ cφ᾽ ἀνδρῶν ἀντιάcειν δοκέω.
οὐ πολλὸν τὸ μεcηγύ· διαπρήξουcι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶcι θεοί.

Χρὴ τολμᾶν χαλεποῖcιν ἐν ἄλγεcι κείμενον ἄνδρα
πρόc τε θεῶν αἰτεῖν ἔκλυcιν ἀθανάτων.

Φράζεο· κίνδυνόc τοι ἐπὶ ξυροῦ ἵcταται ἀκμῆc,
ἄλλοτε πόλλ᾽ ἕξειc, ἄλλοτε παυρότερα,
ὥcτε cε μήτε λίην ἀφνεὸν κτεάτεccι γενέcθαι,
μήτε cέ γ᾽ ἐc πολλὴν χρημοcύνην ἐλάcαι.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ᾽ ἐπιδοῦναι
χρήματα τῶν ἐχθρῶν τοῖcι φίλοιcιν ἔχειν.

Κεκλῆcθαι δ᾽ ἐc δαῖτα, παρέζεcθαι δὲ παρ᾽ ἐcθλόν
ἄνδρα χρεὼν cοφίην πᾶcαν ἐπιcτάμενον
τοῦ cυνιεῖν, ὁπόταν τι λέγηι cοφόν, ὄφρα διδαχθῆιc
καὶ τοῦτ᾽ εἰc οἶκον κέρδοc ἔχων ἀπίηιc.

Ἥβηι τερπόμενοc παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆc ὀλέcαc ψυχὴν κείcομαι ὥcτε λίθοc
ἄφθογγοc, λείψω δ᾽ ἐρατὸν φάοc ἠελίοιο·
ἔμπηc δ᾽ ἐcθλὸc ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποιcι κακὸν μέγα, πεῖρα δ᾽ ἄριcτον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουc᾽ ἀγαθῶν.

---

**552** cf. Hi. Jb. 1886, 62 **553** πολλὴν . . . κέλ. Br. H.-W. διαπρήccουcα κέλ. sim. Hom. **554** = 540 **555 s** ∼ 1178ᵃ·ᵇ Ε 384 χαλ. ἄλγε(α) cf. Semon. 1, 23 s **557** φράζεο δ᾽ ὁ A alterum hemistichium Κ 173. cf. Herod. 6, 11 **559** ὥcτεccε A ὥcτε cε rel. λῶιcτά cε Geel H.-W. sed uide an plura interciderint **559 s** sui iuris esse uoluit H.-W. **560** ἐλ. intrans. ut Tyrt. 8, 10 **561** αὐτῶν A αὐτῶι ci. B. **563** τ᾽ ci. Kal. παρέξεcθαι A **563 ss** an maioris epigrammatis frustulum? **564** Ο 411 s ὅc ῥά τε πάcηc εὖ εἰδῆι cοφίηc **565** τοῦ c. inf. fin. διδαχθῆι A **567** at ψ 212 ἥβηc ταρπῆναι **567 ss** Mimnermum sapiunt **569** Pind. Ol. 10, 75 cελάναc ἐρατὸν φάοc **570** ex. cf. Ἀίδηc (H.-W.) **571 s** ∼ 1104ᵃ·ᵇ (ubi 1104ᵇ ἀγαθοί)

Εὖ ἔρδων εὖ πάςχε· τί κ᾽ ἄγγελον ἄλλον ἰάλλοις;
τῆς εὐεργεςίης ῥηιδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦςιν, ἐπεὶ τόν γ᾽ ἐχθρὸν ἀλεῦμαι
ὥςτε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥήιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ ᾽κ κακοῦ ἐςθλόν.
μή με δίδαςκ᾽· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι
ςμικρῆς ὄρνιθος κοῦφον ἔχουςα νόον.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον,
ὃς τὴν ἀλλοτρίην βούλετ᾽ ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐςτι γενέςθαι
ἀεργά· τὰ δ᾽ ἐξοπίςω, τῶν φυλακὴ μελέτω.

Πᾶςίν τοι κίνδυνος ἐπ᾽ ἔργμαςιν οὐδέ τις οἶδεν,
πῆι ςχήςειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ᾽ ὁ μὲν εὐδοκιμεῖν πειρώμενος οὐ προνοήςας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεςεν·
τῶι δὲ καλῶς ποιεῦντι θεὸς περὶ πάντα τίθηςιν
ςυντυχίην ἀγαθήν, ἔκλυςιν ἀφροςύνης.

Τολμᾶν χρή, τὰ διδοῦςι θεοὶ θνητοῖςι βροτοῖςιν,
ῥηϊδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος,

---

**585—590** Stob.[1] 4, 47 (π. τῶν παρ᾽ ἐλπίδα), 16 p. 1006 H. [SMA] Θεόγνιδος· (Stob.[2] cf. Sol. l. c.)

---

**574** εὐγεργεςίης A. cf. ad 548 ῥηϊδίαγγελη A **575** exordium redit 861, sim. 813 **576** ειναλιος (o corr. ex ω uel α) A ἐναλίους O, quod def. Friedl. **577** ῥήιδιον 𝕮 (H.-W.) em. O. Schn. θειραι A ᾽κ κακοῦ Vat. κακοι A fuitne ᾽κ κακοῖ᾽? sed cf. 431 **579** s Callim. epigr. 28 contulit Reitz. Ep. u. Sk. p. 69. 76, qui 581 s respondentem inducit **580** κ. . . . ν. 498 **581** cf. Semon. 7, 13 ss Phocyl. 2, 4 Soph. eleg. 3, 4 (de Euripide) **581** s Callim. epigr. 28 contulit H.-W. seclus. Wil.[1] **582** ἀλλοτρίαν A **583** aliter Emped. 12, 1 D. ἀμ. ἐ. γ. **584** ἔργα 𝕮 em. B. Hi. alii (ἀργά) ἐξοςτίςω A **585—590** = Sol. 1, 65—70 cf. Wil. SS. p. 269 s **591** τ. χρ. 1178[a] (555) 1171 θεοὶ θνητοῖςι διδοῦςιν ἄριςτον (Croen.) **591** ss ad rem cf. Archil. 67[a] **592** φέρειν imperat.? Kal. αμφοτερον A (o altera e ras.)

μήτε κακοῖσιν ἀcῶντα λίην φρένα μήτ᾽ ἀγαθοῖcιν
τερφθέντ᾽ ἐξαπίνηc, πρὶν τέλοc ἄκρον ἰδεῖν.

Ἄνθρωπ᾽, ἀλλήλοιcιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
πλὴν πλούτου παντὸc χρήματόc ἐcτι κόροc.
δὴν. δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ᾽ ἄλλοιcιν ὁμίλει
ἀνδράcιν, οἳ τὸν cὸν μᾶλλον ἴcαcι νόον.

Οὔ μ᾽ ἔλαθεc φοιτῶν κατ᾽ ἀμαξιτόν, ἣν ἄρα καὶ πρίν
ἠλάcτρειc κλέπτων ἡμετέρην φιλίην.
ἔρρε, θεοῖcίν τ᾽ ἐχθρὲ καὶ ἀνθρώποιcιν ἄπιcτε,
ψυχρὸν ὃc ἐν κόλπωι ποικίλον εἶχεc ὄφιν.

Τοιάδε καὶ Μάγνηταc ἀπώλεcεν ἔργα καὶ ὕβριc,
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῶι τοι πλέοναc λιμοῦ κόροc ὤλεcεν ἤδη
ἄνδραc, ὅcοι μοίρηc πλεῖον ἔχειν ἔθελον.

---

**605 s** Stob. 3, 18 (π. ἀκραcίαc), 9 p. 514 H. [SMA] Θεόγνιδοc· laudat Teles ap. Stob. 4, 32 (π. πενίαc), 21 p. 785 H. (Tel. rel.[2] p. 45 H.) οὐ κακῶc δὲ καὶ Θέογνιc λέγει· π. τ. πλείουc λ. κ. ὤ. ἄνδραc

---

**593** ἀcῶ τι B. H.-W. **593 s** ∼ 657 s cf. 989 et Hi. Jb. 1888 p. 149 sui iuris esse uoluerunt B. H.-W. contra Archil. **593** μήτ᾽: μηδ᾽ Friedl. **594** τερφθῆιc δ᾽ A τερφθῆιc rel. em. Bekk. τερφθῆιc (δ᾽ om.) H.-W. Friedl. anacoluthon defendit Kal. τέλοc ἄκρον est θάνατον aliter Simon. 134, 2 cf. A. P. 7, 300, 2 **595** ἄνθρ. ut 1249 παῖ, sed cf. 453 ὤνθρωπ᾽ **596** aliter de Troianis N 636. 639 πάντων μὲν κόροc ἐcτί . . . Τρῶεc δὲ μάχηc ἀκόρητοι ἔαcιν cf. 1158 Sol. 1, 71 **597** = 1243 (praeter ἔπειτ᾽) . cf. Hi. Jb. 1888 p. 149 s καὶ: παῖ B. **597 s** disticho antecedenti quasi respondere docuit Reitz. Ep. u. Sk. p. 76. cf. Anecd. ed. Bekk. 1, 65 Ps.-Diogenian. 8, 50 ad ἄλλ. ὁμ. ἀν. cf. 31 s 597 s 1377 s **599** Meleagr. A. P. 5, 184 contulit H.-W. κ. ἀ. X 146 **600** Ϲ 543 ζεύγεα . . . ἐλάcτρεον **601** cf. κ 72 ss τ᾽ om. A Vat. **602** ὃν . . . εἶχον Sint. probante Crusio ad Babr. fab. 147[a] p. 137 s Cr. **603 s** Hart. errore Callino uindicat. cf. 1103 s cum adn. Mimn. 12, 4 **605 s** cf. 693 s **606** πλέον A πλεῦν᾽ Stob. 𝔈 ἐθέλουcιν ἔχειν Stob., quod defendit Nietzsche RhM. 22, 188, quem refutauit O. Crueger de Theogn. diss. (Regim. a. 1882) p. 43 s

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Ἀρχῆι ἔπι ψεύδουϲ μικρὰ χάριϲ· εἰϲ δὲ τελευτήν
αἰϲχρὸν δὴ κέρδοϲ καὶ κακόν, ἀμφότερον,
γίνεται. οὐδέ τι καλόν, ὅτωι ψεῦδοϲ προϲομαρτῆι
ἀνδρὶ καὶ ἐξέλθηι πρῶτον ἀπὸ ϲτόματοϲ.

Οὐ χαλεπὸν ψέξαι τὸν πληϲίον οὐδὲ μὲν αὐτόν
αἰνῆϲαι. δειλοῖϲ᾽ ἀνδράϲι ταῦτα μέλει.
ϲιγᾶν δ᾽ οὐκ ἐθέλουϲι κακοὶ κακὰ λεϲχάζοντεϲ,
οἱ δ᾽ ἀγαθοὶ πάντων μέτρον ἴϲαϲιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιοϲ καθορᾶι.

Οὔ τι μάλ᾽ ἀνθρώποιϲ καταθύμια πάντα τελεῖται·
πολλὸν γὰρ θνητῶν κρέϲϲονεϲ ἀθάνατοι.

Πόλλ᾽ ἐν ἀμηχανίηιϲι κυλίνδομαι ἀχνύμενοϲ κῆρ·
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.

Πᾶϲ τιϲ πλούϲιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
πᾶϲιν δ᾽ ἀνθρώποιϲ᾽ αὑτὸϲ ἔνεϲτι νόοϲ.

---

**607—610** Stob. 3, 12 (π. ψεύδουϲ), 16 p. 446 H. [SMA] Θεόγνιδοϲ· **617** Hesych. καταθύμια· ἀρέϲκοντα τῆι ψυχῆι. ἡδέα. εὔθυμα. ἢ κατὰ νοῦν **617s** Stob. 4, 34 (π. τοῦ βίου ὅτι βραχύϲ), 55 p. 841 H. [MA] Θεόγνιδοϲ· **619—622** Stob. 4, 33 (ϲύγκριϲιϲ πενίαϲ καὶ πλούτου), 15 p. 801 H. [SMA] Θεόγνιδοϲ· **621** Et. Magn. 758, 41 (= Herodian. π. ὀρθογρ. II 592, 12 ss L.) sine poetae nomine, om. πλ. Ael. Dionys. περὶ ἀκλίτων ὀνομάτων ap. Aldum Pium Manutium Θηϲαυρόϲ· Κέραϲ ἀμαλθείαϲ. καὶ κῆποι Ἀδώνιδοϲ Thesaurus Cornucopiae et Horti Adonidis Venetiis 1496 fol. non numerat. 2r med. (cf. Reitz. Gesch. d. gr. Etymol. p. 364), ubi τιᾶι, ἀτιεῖ, πενηχρόν

---

**607** μικρὴ det. **608** ἀμφότερα Stob. $M^{d}$A ἀμφό(τ) S. cf. 980 **609** γίνεται οὐδ᾽ ἔτι Hi. Jb. 1886 p. 63 (H.-W.) προϲομαρτεῖ Stob. $AM^{1d}$ cum Vat. et det. προϲαμαρτῆι A **613s** cf. 419s **615s** cf. 849s Sol. 15 **617** ∼ 139 τι: τοι Stob. 𝕮 cf. P 201 eodem cadit B 330 **618** πολλῶν Vat. Stob. MA (H.-W.) **619** πολλὰ δ᾽ ἀμ. $1114^{a}$ ἀ. κ. Hom. **619s** = $1114^{a.b}$ **620** ἀρχὴν γὰρ πενίηϲ $1114^{b}$, unde ἄκρην . . . πενίηϲ ci. B., qui contulit Eur. fr. 230 $N.^{2}$ Aesch. Eum. 562 **621** cf. Hi. Jb. 1886 p. 63. 1888 p. 150 et Hesych. ἀτίζει· ἀτιμάζει. ἢ ἀφροντιϲτεῖ **622** αὐτὸϲ 𝕮 ὡὐτόϲ Br.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν,
 παντοῖαι δ᾽ ἀρεταὶ καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ᾽ ἄφροσι πόλλ᾽ ἀγορεύειν
 καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ᾽ ἀνδράσι νήφοσιν εἶναι,
 αἰσχρὸν δ᾽ εἰ νήφων πὰρ μεθύουσι μένει.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
 πολλῶν δ᾽ ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧιτινι μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις,
 Κύρν᾽, ⟨ὅ γε⟩ καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

Βουλεύου δὶς καὶ τρίς, ὅ τοί κ᾽ ἐπὶ τὸν νόον ἔλθηι·
 ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς᾽ ἀγαθοῖς᾽ ἕπεται γνώμη τε καὶ αἰδώς·
 οἳ νῦν ἐν πολλοῖς᾽ ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·

---

**623** Hesych. παλάμαι· ... αἱ τέχναι, ἐπεὶ δι᾽ αὐτῶν πολλὰ μαιόμεθα **625** s Stob. 3, 34 (π. τοῦ εὐκαίρως λέγειν), 13 p. 684 H. [SM] Θεόγνιδος· **625** Ps.-Diogenian. 2, 90 Gregor. Cypr. 1, 86 Svid. s. u. ἀργαλέον **627** s Stob. 3, 18 (π. ἀκρασίας), 10 p. 515 H. [SMA] τοῦ αὐτοῦ (Θεόγνιδος)· **629** s Stob. 4, 11 (π. νεότητος), 12 p. 339 H. [SMAL] Θεόγνιδος· **635** s Stob. 3, 37 (π. χρηστότητος), 16 p. 701 H. [S] Θεόγνιδος· **637** s Stob. 4, 46 (π. ἐλπίδος), 11 p. 999 H. [S] Θεόγνιδος·

---

**623** s cf. 1027 s **625** π. ἀγ. Hom. saepius diuerso sensu garriendi **626** ἀεὶ Stob. 𝕮 τοῦτο γ. οὐ δ. uncis inclus. H.-W. **627** s cf. 485 ss **627** τοι: τι Vat. Stob. A νήφοσιν ut 481 νήφοσι μεῖναι ci. Leutsch, adsentitur B. **627** s ἐχθρὸν bis Stob. 𝕮 **628** μένη Stob. S μένοι Theogn. unus e det. **630** cf. 386. 404 **631** Π 688 Διὸς κρείσσων νόος (P 176) cf. Eur. fr. 715 N.[2] **632** κυρν (rasur.) A K. ⟨ὅ γε⟩ Br. K. ⟨ἐν⟩ (i. ἔγκειται) Kal. Κύρνε καὶ ⟨ἐν⟩ μ. κ. ἀμηχανίαις B. H.-W. (Kal.) ad 646 **633** cf. Plat. Phil. 59e βουλεύευ Hi.-Cr. **634** contrarium fere η 51 s **635** ∼ 410 **636** οἳ Stob. οὐ Theogn. 𝕮 **637** ὁμοῖα Stob.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖ ῥεῖν
ἔργ᾽ ἀνδρῶν, βουλαῖς δ᾽ οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ᾽ εἰδείης οὔτ᾽ εὔνουν οὔτε τὸν ἐχθρόν,
εἰ μὴ σπουδαίου πράγματος ἀντιτύχοις.

Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
ἐν δὲ σπουδαίωι πράγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
κείμενος ἐν μεγάληι θυμὸν ἀμηχανίηι.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς᾽ ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ᾽ οὐκ ἐθέλοντα βίηι καὶ πολλὰ διδάσκεις
ἐσθλὰ μετ᾽ ἀνθρώπων καὶ κάλ᾽ ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν,

---

**639** s Stob. 4, 47 (π. τῶν παρ᾽ ἐλπίδα), 15 p. 1006 H. [SMA] Θεόγνιδος· **647** s Stob. 3, 32 (π. ἀναιδείας), 8 p. 676 H. [SML] Θεόγνιδος· **649—652** Stob. 4, 32 (π. πενίας), 34 p. 792 H. [SMA] Θεόγνιδος· subiuncti sunt et conglutinati 177 s **653** s Stob. 4, 39 (π. εὐδαιμονίας), 12 p. 904 H. [SMA] Θεόγνιδος·

---

**639 s** cf. 665 s **639** εὖ ῥεῖν Emp. Ahr. εὑρεῖν 𝕮 (ευρεῖν A) Aesch. Pers. 601 ὅταν ὁ δαίμων εὐροῆι **640** βουλαῖο A ἐπέγεντο: ἔπεσεν τὸ Stob. **641** εὔνοον B. Hi.-Cr. τὸν: τοι ci. Emp. sed cf. 424 **642. 644** πρήγματος (-τι) 𝕮 (H.-W.) praeter A **643 s** ∼ 115 s cf. 697 s cum adn. **645** π. κηδ. 360 **646** cf. ι 295 **647** ἢ δὴ mauolt B. **647 s** cf. 291 s **648** οὗτὰρ A ἐπέρχεθ᾽ ὁμῶς Stob. S ἐπιστρέφεται ἐπέρχεσθ᾽ ὅμως Stob. M ἐπιστρέφεται ὁμῶς Stob. L **649** ὦ Theogn. det. pauci Stob. A, sed ἆ δειλέ sim. pass. Hom. idem exordium 351 **649 ss** cf. 383 ss **651** eodem uersus loco οὐκ ἐθ. β. N 572 καὶ πολλὰ Theogn. 𝕮 κακὰ πολλὰ Stob. 𝕮 καὶ ⟨δειλὰ⟩ Ahr. lacuna antiquitus dittographia quadam orta at tamen cf. 388 s 391 'turpia ac multa quidem' Be. cf. H.-W. ad l. **653** κε A defend. B. cf. κ 2 et Wil.Gl. 1, 369

Κύρν᾽· ἀρετῆc δ᾽ ἄλλης οὐδεμιῆc ἔραμαι.

Cὺν τοί, Κύρνε, παθόντι κακῶc ἀνιώμεθα πάντεc·
ἀλλὰ τοὶ ἀλλότριον κῆδοc ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖcιν ἀcῶ φρένα μηδ᾽ ἀγαθοῖcιν
χαῖρ᾽, ἐπεὶ ἔcτ᾽ ἀνδρὸc πάντα φέρειν ἀγαθοῦ.

Οὐδ᾽ ὀμόcαι χρὴ τοῦτ᾽· ʽοὐ μήποτε πρᾶγμα τόδ᾽ ἔcται·᾽
θεοὶ γάρ τοι νεμεcῶc᾽, οἷcιν ἔπεcτι τέλοc·
καὶ πρῆξαι μέντοι τι· καὶ ἐκ κακοῦ ἐcθλὸν ἔγεντο
καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸc ἀνὴρ
αἶψα μάλ᾽ ἐπλούτηcε καὶ ὃc μάλα πολλὰ πέπαται
ἐξαπίνηc ἀπό γ᾽ οὖν ὤλεcε νυκτὶ μιῆι.
καὶ cώφρων ἥμαρτε καὶ ἄφρονι πολλάκι δόξα
ἕcπετο καὶ τιμῆc καὶ κακὸc ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ᾽ ἔχοιμι, Cιμωνίδη, οἷά περ ἤδη,
οὐκ ἂν ἀνιώιμην τοῖc᾽ ἀγαθοῖcι cυνών.
νῦν δέ με γινώcκοντα παρέρχεται, εἰμὶ δ᾽ ἄφωνοc
χρημοcύνηι πολλῶν γνοὺc ἂν ἄμεινον ἔτι,

---

**665** s Stob. 4, 42 (π. τῶν παρ᾽ ἀξίαν εὐτυχούντων), 5 p. 951 H. [SMA] Θεόγνιδοc·

---

**656** ad ἐφ. cf. 966 **657** s ~ 593 s 401 **659** τοῦτ᾽ οὐ Ahr. τοῦτο τί A τοῦτο Vat. τούτω Marc. τοῦθ᾽ ὅτι Cam. H.-W. ad rem cf. Archil. 74 **660** Hes. op. 741 τῶι δὲ θεοὶ νεμεcῶcι τοι Cam. Herm. τε A Vat. Sol. 1, 58 καὶ τοῖc οὐδὲν ἔπεcτι τέλοc **661** πρῆξαν μέτοπίν τι Heimsoeth πρῆξιc· θάμα τοί τι Sitz. Jb. 1894 p. 137 πρῆξαι ex χρὴ pendere uolt H.-W. ʽan πρ. pro imper.?᾽ Kal. **661** s cf. 431. 189 ss **663** καί: δὲ A πέπαcται ℭ em. Br. **664** ἀπό γ᾽ οὖν ego αποτοῦν A πάντα Vat. πάντ οὖν det. cf. Hi. Jb. 1888 p. 151 **665** s cf. 639 s 1111 s **666** καὶ²: om. Stob. ℭ τιc Gesn.¹ κακῶc Stob. M **667—682** integra elegia. cf. 467 ss Eueni elegiam 1 Alc. 30. 46 Hor. carm. 1, 14 **667** idem C. 469. 1349 περ ℭ πρὶν Ahr. οἷα πάροιθεν Weckiein **668** ἀνιώμην Vat. det. ἀνοίμην A **669** s cf. 177 s 419 s **670** γνοῦcαν A (cf. 682) περ unus e det. H.-W. ἂν nonnulli det. om. rel. cum Vat.

οὕνεκα νῦν φερόμεςθα καθ' ἱςτία λευκὰ βαλόντες
 Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουςιν· ὑπερβάλλει δὲ θάλαςςα
 ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς
ςώιζεται. οἳ δ' ἕρδουςι· κυβερνήτην μὲν ἔπαυςαν
 ἐςθλόν, ὅ τις φυλακὴν εἶχεν ἐπιςταμένως·
χρήματα δ' ἁρπάζουςι βίηι, κόςμος δ' ἀπόλωλεν,
 δαςμὸς δ' οὐκέτ' ἴςος γίνεται ἐς τὸ μέςον·
φορτηγοὶ δ' ἄρχουςι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
 δειμαίνω, μή πως ναῦν κατὰ κῦμα πίηι.
ταῦτά μοι ἠινίχθω κεκρυμμένα τοῖς' ἀγαθοῖςιν·
 γινώςκοι δ' ἄν τις καὶ κακός, ἢν ςοφὸς ἦι.

Πολλοὶ πλοῦτον ἔχουςιν ἀίδριες· οἳ δὲ τὰ καλά
 ζητοῦςιν χαλεπῆι τειρόμενοι πενίηι.
ἔρδειν δ' ἀμφοτέροιςιν ἀμηχανίη παράκειται·
 εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκ ἔςτι θνητοῖςι πρὸς ἀθανάτους μαχέςαςθαι
 οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν ὅτε μὴ πημαντέον εἴη,
 οὐδ' ἕρδειν ὅ τι μὴ λώιον ἦι τελέςαι.

Χαίρων εὖ τελέςειας ὁδὸν μεγάλου διὰ πόντου
 καί ςε Ποςειδάων χάρμα φίλοις' ἀγάγοι.

---

**683—686** Stob. 4, 31 (π. πλούτου), 44 p. 749 H. [SMA] Θεόγνιδος·

---

**671** 'ad οὕν. cf. 853 Hom. hymn. Apoll. 2, 198' Be. A 480 ἀνά θ' ἱςτία λευκὰ πέταςςαν ι 77 ἱςτία λεύκ' ἐρύςαντες **672** ν. δ. δν. ο 50. cf. Hes. theog. 107 **675** οἱ δ' 𝔈 οἷα ci. Bekk. (Lav. H.-W.) sed cf. 685 **681** cf. Xenophan. fr. 35 D. (Friedl.) **682** κακὸν 𝔈 em. Br. **683** ss ad rem cf. 1061 s 315 s **684** χαλεποὶ A χ. τ. π. 182. 752 **686** γὰρ τοὺς μὲν: τοὺς μὲν δὴ Stob. **687** Ε 130 ἀθανάτοιςι θεοῖς . . . μάχεςθαι Z 129 οὐκ ἂν ἔγωγε θεοῖςιν ἐπουρανίοιςι μαχοίμην **691** cf. 511 **691** s 'nota propempticon antiquissimum' Kern Friedl. **692** cf. P 636 Sapph. 25, 6

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεϲεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ᾽ ἐϲθλὰ παρῆι.

Οὐ δύναμαί ϲοι, θυμέ, παραϲχεῖν ἄρμενα πάντα·
τέτλαθι· τῶν δὲ καλῶν οὔ τι ϲὺ μοῦνοϲ ἐρᾶιϲ.

Εὖ μὲν ἔχοντοϲ ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινόν
ϲυγκύρϲηι, παῦροι πιϲτὸν ἔχουϲι νόον.

Πλήθει δ᾽ ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε,
πλουτεῖν· τῶν δ᾽ ἄλλων οὐδὲν ἄρ᾽ ἦν ὄφελοϲ,
οὐδ᾽ εἰ ϲωφροϲύνην μὲν ἔχοιϲ Ῥαδαμάνθυοϲ αὐτοῦ,
πλείονα δ᾽ εἰδείηϲ Σιϲύφου Αἰολίδεω,
ὅϲ τε καὶ ἐξ Ἀΐδεω πολυϊδρείηιϲιν ἀνῆλθεν
πείϲαϲ Περϲεφόνην αἱμυλίοιϲι λόγοιϲ,
ἥ τε βροτοῖϲ παρέχει λήθην βλάπτουϲα νόοιο —

---

**693** s Stob. 3, 4 (π. ἀφροϲύνηϲ), 43 p. 230 H. [MA] Θεόγνιδοϲ· **695** s Stob. 3, 19 (π. ἀνεξικακίαϲ), 11 p. 531 H. [MA: S sine lemmate] Θεόγνιδοϲ· **695** adfert Corp. Paris. 641 Elt. **699—702** Stob. 4, 31 (π. πλούτου), 3 p. 733 s H. [SMA] Θεόγνιδοϲ·

---

**693** πολλόϲ Stob.𝕮 cf. 605 s **693** s Soloni uindicauit Hart. **694** μέτρον: παῦρον Stob.𝕮 καιρὸν ci. B. παῦϲον ci. Buech. **695** similia e pictura uascularia contulit Cr. (P. Kretschmer Gr. Vaseninschr. p. 87, 56 GGA 1896 p. 237), qui coni. οὐ δύναμ᾽, οὔ ϲοι, θ. cf. Wil.SS. 120 Bacchyl. fr. 18 (Maas) παραϲχέμεν Us. cf. 275 et 1029 cum adn. (τόλμα, θυμέ) Hes. theog. 639 παρέϲχεθον ἄρμενα πάντα Pind. Nem. 3, 58 ἐν ἀρμένοιϲι πᾶϲι θυμὸν αὔξων **695** s cf. Archil. 67 a **696** οὐχὶ Stob. μόνοϲ boni ad rem cf. Bacchyl. fr. 14 Theocr. 13, 1 ss **697** εὖ: οὐ A **697** s cf. 643 ss 857 ss 929 s **698** ∼ 73 νόου A **699—718** carmen integrum (cf. 699 s ∼ 717 s), quod pridem contulerunt cum Tyrt. 9. cf. Reitz. Ep. u. Sk. p. 78 W. Jaeger Tyrt. p. 544 ss **699** πᾶϲιν δ᾽ ἀνθρώποιϲ᾽ ἀρ. Stob. Aesch. Pers. 432 πλῆθοϲ ... ἀνθρώπων **699** s cf. Alc. 101 **700** Χ 513 οὐδέν ϲοί γ᾽ ὄφελοϲ **701** ἔχοι Stob. **701** s cf. Tyrt. 9, 6 ss **702** εἰδείη Stob. Ν 355 πλείονα ᾔδει Ζ 154 Σίϲυφοϲ Αἰολίδηϲ **702** ss cf. Alc. 73 G. Rathmann Quaestiones Pythagoreae Orphicae Empedocleae Diss. Hal. 1933 p. 141, 26 **703** ψ 77 πολυϊδρείηιϲι νόοιο (β 643) **704** α 56 αἱμ. λόγοιϲιν (Hom. hymn. Merc. 317) **705** 223 νόου βεβλαμμένοϲ ἐϲθλοῦ

ἄλλος δ᾽ οὔπω τις τοῦτό γ᾽ ἐπεφράcατο,
ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψηι,
ἔλθηι δ᾽ ἐς cκιερὸν χῶρον ἀποφθιμένων,
κυανέας τε πύλας παραμείψεται, αἵ τε θανόντων
ψυχὰς εἴργουcιν καίπερ ἀναινομένας.
ἀλλ᾽ ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίcυφος ἥρως
ἐς φάος ἠελίου cφῆιcι πολυφροcύναις —
οὐδ᾽ εἰ ψεύδεα μὲν ποιοῖc ἐτύμοιcιν ὁμοῖα
γλῶccαν ἔχων ἀγαθὴν Νέcτορος ἀντιθέου,
ὠκύτερος δ᾽ εἴηcθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰcὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέcθαι,
ὡς πλοῦτος πλείcτην πᾶcιν ἔχει δύναμιν.

Ἶcόν τοι πλουτοῦcιν, ὅτωι πολὺς ἄργυρός ἐcτιν
καὶ χρυcὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ᾽ ἡμίονοί τε, καὶ ὧι τὰ δέοντα πάρεcτιν,
γαcτρί τε καὶ πλευραῖς καὶ ποcὶν ἁβρὰ παθεῖν,
παιδός τ᾽ ἠδὲ γυναικός· ὅταν δέ κε τῶν ἀφίκηται
ὥρη, cὺν δ᾽ ἥβη γίνεται ἁρμοδία.
ταῦτ᾽ ἄφενος θνητοῖcι· τὰ γὰρ περιώcια πάντα

---

**717 s** Stob. 4, 31 (π. πλούτου), 8 p. 736 H. [SMA] Θεόγνιδος· cf. Eur. Phoen. 438 ss **719—728** Stob. 4, 33 (cύγκριcιc πενίας καὶ πλούτου), 7 p. 798 H. [SMA] Θεόγνιδος· (cf. Sol. l. c.)

---

**706** ∼ 430 **707** ∼ Π 350 δ 180 **708** αποφθιμένος A **709** Ps.-Hes. scut. 249 Κῆρες κυάνεαι παρ. coniunct. **711** κἀκεῖθεν 𝔈 em. Bekk. **713** ∼ τ 203 ψευδέα A **714** λ 512 Νέcτωρ ἀντίθεος **714 ss** cf. Tyrt. 9, 4. 8 cf. A 248 s Ou. met. 13, 63 **715** ex Etym. Magn. 138, 21 Ἀρεπυιῶν Wil.[1] B. olim **717** ταύτην γνώμην πάντας (πάντως A, ut uidetur) Stob. probat Leutsch Phil. 23 p. 472 conl. Ar. eccles. 658 ταύτηι ci. B. **717 s** cf. 699 s **718** an Πλοῦτος? Kern. cf. Add. **719—728** = Sol. 14 **719 ss** cf. Hor. epist. 1, 12, 5 s *(cui rerum suppetit usus, si uentri bene, si lateri est pedibusque tuis)* et epigrammatum auctores apud Kaegi p. 9 ss Reitz. Ep. u. Sk. p. 77 s **720** eodem cadunt 988 X 602 **721** ταλεοντα A τάδε πάντα Stob. contra Horatium (Kai.) **722** eodem cadit 474 **723 s** cf. Add. **724** δ᾽ in apodosi

χρήματ᾽ ἔχων οὐδεὶς ἔρχεται εἰς ᾿Αίδεω,
οὐδ᾽ ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ᾽ ἔχουσαι
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
ὕβριν ἁδεῖν, καί σφιν τοῦτο γένοιτο φίλον
θυμῶι, σχέτλια ἔργα †διατά φρεσὶ δ᾽ ὅστις †ἀθήνης
ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τεῖσαι κακά· μηδ᾽ ἔτ᾽ ὀπίσσω
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
παῖδες δ᾽, οἵ τ᾽ ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
ποιῶσιν, Κρονίδη, σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ᾽ ἀστοῖσιν φιλέοντες,
μή τιν᾽ ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ᾽ εἴη μακάρεσσι θεοῖς φίλα· νῦν δ᾽ ὁ μὲν ἕρδων
ἐκφεύγει, τὸ κακὸν δ᾽ ἄλλος ἔπειτα φέρει.

---

**726** in ἔρχεται εἰς ᾿Αίδην cadunt Tyrt. 10, 38 Mimn. 2, 14 **727** = 1187 **727 s** cf. 527 s cum. adn. **729** cf. B 215 Sapph. 36, 3 s Hor. carm. 2, 16, 11 s similiter μέριμναι ap. Mimn. 1, 7 **729 s** cf. Hi. Jb. 1886 p. 63 **730** μύρεσθαι Hom. pass. uersus initio **731—742** Solonis elegiam esse ci. B. cf. 203 ss 395 ss 373 ss Sol. 1, 29 ss Eur. Hipp. 1329 ss **731** β 33 s εἴθε ... Ζεὺς ... τελέσειεν, at Χ 41 s αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο, ὅσσον ἐμοί η 316 μὴ τοῦτο φίλον Διὶ ... γένοιτο cf. 741 **731 s** aut corruptos aut contractos esse censuerunt editores: mihi ne ἁδεῖν quidem mutandum uidetur conlata elegia 373 ss (203 ss 44) **732 s** Η 31 s ἐπεὶ ὧς φίλον ἔπλετο θυμῶι ὑμῖν ἀθανάτῃσι **733** σχ. ἔ. ξ 83 al. διατάφρεσι δ᾽ Α μετὰ φρεσὶ δ᾽ (θ᾽ Vat.) plerique μετὰ φρεσὶν (ὅστις) Cam. Br. H.-W. (ἔργ᾽) ἀδινὰ φρ. δ᾽ ci. Kal. ἀθήνης 𝔈 ἀγεννής Kal. ἀπηνής edit. ueter. ἀθειρής (-θηρ-) B. Sauppe H.-W. ex Hesych. et Etym. Magn. s. u. **733 s** Ω 733 ἔργα ἀεικέα ἐργάζοιο ad rem contulit Lav. LXX. Iob 21, 7 ss **734** cf. 1148 μηδέν᾽ Herm. **735** μηδέ τ᾽ 𝔈 explic. Herm. **735 s** cf. Sol. 1, 31 s **737** δ᾽ det. (731 μὲν) τ᾽ Α θ᾽ Vat. **738** παιῶσιν Α **739** τὰ om. Α **740** ὑπερβασίη uox Homerica. cf. 745 **741** cf. 731 ἔρδων Α **742** ἔπειτεν ἔχει ci. Us. Kl. Schr. I 242

Καὶ τοῦτ', ἀθανάτων βαςιλεῦ, πῶς ἐςτι δίκαιον,
ἔργων ὅςτις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων
μή τιν' ὑπερβαςίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
ἀλλὰ δίκαιος ἐών, μὴ τὰ δίκαια πάθηι;
τίς δή κεν βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον ἔπειτα
ἅζοιτ' ἀθανάτους καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάςθαλος οὔτε τευ ἀνδρός
οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος
ὑβρίζηι πλούτωι κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχονται χαλεπῆι τειρόμενοι πενίηι;

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ
ςώφρονα θυμὸν ἔχων ἐκτὸς ἀταςθαλίης
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος· εἰς δὲ τελευτήν
αἰνήςεις μύθωι ςώφρονι πειθόμενος.

---

Ζεὺς μὲν τῆςδε πόληος ὑπειρέχοι αἰθέρι ναίων
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοςύνηι
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ὀρθώςαι γλῶςςαν καὶ νόον ἡμέτερον.
φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός·

---

**743—752** num eidem auctori atque elegia superior tribuenda? cf. Eur. fr. 286. 293. 832 N.² **744** Aesch. Choeph. 1031 s ἐκτὸς αἰτίας κακῆς εἶναι **745** κατέχων: ποτ' ἔχων Sitz. τελέων Hi. μηδ' Bekk. μήθ' 𝔈 an ἀλιτρός? **746** cf. 794 παθεῖν ci. Friedl. **750** ἀλευάμενος Marc. cf. 400 Ε 444 μῆνιν ἀλευάμενος (Π 711) **752** cf. 182. 684 **753** ποιεῦ B.² Hi.-Cr. **753 ss** cf. 29 s 37 s Pohl. p. 425 s **755** cf. A. P. 7, 472, 15 ἀεὶ A **756** cf. 1381 s adn. **757 ss 769 ss 773 ss—792** prooemium poetae Megarensis alterius iunioris homonymi fortasse hymnis 1—38 simile. cf. Jac. p. 107 s 139 s **757 ss** Β 412 Hes. op. 18 Δ 166 Ζεὺς . . . αἰθέρι ναίων Δ 249 αἴ κ' ὔμμιν ὑπέρςχηι χεῖρα Κρονίων ε 7 al. Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες Γ 308 Ζεὺς . . . καὶ ἀθάνατοι θεοὶ ἄλλοι (298) α 121 al. χεῖρα . . . δεξιτερήν **759** 834 ἀθ. μ. θ. Υ 54 μάκ. θ. Π 728 αὐτ. Ἀπ. (Χ 538) **761** φόρμιγγ' δ' αυ A em. Br. φθέγγοιςθ' A cum plerisque det. Ϲ 495 αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον cf. 532

ἡμεῖc δὲ cπονδὰc θεοῖcιν ἀρεccάμενοι
πίνωμεν χαρίεντα μετ᾽ ἀλλήλοιcι λέγοντεc
μηδὲν τὸν Μήδων δειδιότεc πόλεμον.
ὧδ᾽ εἴη κε⟨ν⟩ ἄμεινον, ἐύφρονα θυμὸν ἔχονταc
νόcφι μεριμνάων εὐφροcύνωc διάγειν
τερπομένουc, τηλοῦ δὲ κακὰc ἀπὸ Κῆραc ἀμῦναι
γῆράc τ᾽ οὐλόμενον καὶ θανάτοιο τέλοc.

Χρὴ Μουcέων θεράποντα καὶ ἄγγελον, εἴ τι περιccόν
εἰδείη cοφίηc, μὴ φθονερὸν τελέθειν,
ἀλλὰ τὰ μὲν μῶcθαι, τὰ δὲ δεικνύεν, ἄλλα δὲ ποιεῖν·
τί cφιν χρήcηται μοῦνοc ἐπιcτάμενοc;

Φοῖβε ἄναξ, αὐτὸc μὲν ἐπύργωcαc πόλιν ἄκρην
Ἀλκαθόωι Πέλοποc παιδὶ χαριζόμενοc·
αὐτὸc δὲ cτρατὸν ὑβριcτὴν Μήδων ἀπέρυκε
τῆcδε πόλεοc, ἵνα cοι λαοὶ ἐν εὐφροcύνηι
ἦροc ἐπερχομένου κλειτὰc πέμπωc᾽ ἑκατόμβαc

---

762 ἀρεccόμενοι A Vat. ἀρεccάμενοι det. ad Hom. (Ι 112 al.) θεοῖcι χαριccάμενοι ci. Sitz. 763 Xenophan. 1, 13—24 contulit Jac. 764 των . . . πολεμων A 765 εἴη κεν B. ειν καὶ A εἶναι καὶ rel. ὁμόφρονα Br. ad X 263 Hom. hymn. Merc. 391 Cer. 435. sed cf. 1329 ss 766 1153 ἀπάτερθε μεριμνέων 767 ∼ 13 post τερπ. lacunam statuerunt B. H.-W. Κῆραc Jac. (p. 101) cf. Mimn. 2, 5 ss Π 75 Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι + Μ 402 κῆραc ἄμυνεν (Δ 11) adde Μ 326 s (!) et Eur. fr. 757 N.[2] 768 cf. 527 s cum adn. et A. P. 5, 11 θ. τ. Γ 309 al. 769 Homn. hymn. 32, 20 (ἀοιδοὶ) Μουcάων θεράποντεc cf. Archiloch. 1 Margit. 1 Hes. theog. 100. Ar. au. 909. sim. cadit 1386 769 ss contulit Pohl. p. 438, 3 Plat. Crat. 406[a] τὰc δὲ Μούcαc τε καὶ ὅλωc τὴν μουcικὴν ἀπὸ τοῦ μῶcθαι, ὡc ἔοικεν, καὶ τῆc ζητήcεωc τε καὶ φιλοcοφίαc τὸ ὄνομα τοῦτο ἐπωνόμαcεν et Etym. Magn. 589, 42 Hellad. ap. Phot. bibl. 531a, 2 770 εἰδείη, cοφίηc B. H.-W. 771 μοῶcθαι A δεικνύειν boni δεικνύναι det. H.-W. π. utpote ποιητήc 772 τίc A 773 π. ἄ. X 383 = Megara ad rem cf. Paus. 1, 42, 1 s Ditt. Syll.[3] 653, 22 RE XV 201, 58 ss 774 similiter cadit A. P. 7, 300, 4 776 πόλευc 𝔈 -λεοc Hi.-Cr. cοι: τοι Cr. eodem cadit 1256 777 cf. Alc. 98 Stesich. 14, 3 Η 450 θεοῖcι δόcαν κλειτὰc ἑκατόμβαc (Μ 6)

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

τερπόμενοι κιθάρηι κὰν ἐρατῆι θαλίηι
παιάνων τε χοροῖϲ᾽ ἰαχῆιϲί τε ϲὸν περὶ βωμόν·
ἦ γὰρ ἔγωγε δέδοικ᾽ ἀφραδίην ἐϲορῶν
καὶ ϲτάϲιν Ἑλλήνων λαοφθόρον. ἀλλὰ ϲύ, Φοῖβε,
ἵλαοϲ ἡμετέρην τήνδε φύλαϲϲε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰϲ Σικελήν ποτε γαῖαν,
ἦλθον δ᾽ Εὐβοίηϲ ἀμπελόεν πεδίον
Σπάρτην τ᾽ Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄϲτυ·
καί μ᾽ ἐφίλευν προφρόνωϲ πάντεϲ ἐπερχόμενον·
ἀλλ᾽ οὔ τίϲ μοι τέρψιϲ ἐπὶ φρέναϲ ἦλθεν ἐκείνων.
οὕτωϲ οὐδὲν ἄρ᾽ ἦν φίλτερον ἄλλο πάτρηϲ.

Μήποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
ἀντ᾽ ἀρετῆϲ ϲοφίηϲ τ᾽, ἀλλὰ τόδ᾽ αἰὲν ἔχων
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῶι καὶ ἀοιδῆι
καὶ μετὰ τῶν ἀγαθῶν ἐϲθλὸν ἔχοιμι νόον.

Μήτε τινὰ ξείνων δηλεύμενοϲ ἔργμαϲι λυγροῖϲ
μήτε τιν᾽ ἐνδήμων, ἀλλὰ δίκαιοϲ ἐών,
τὴν ϲαυτοῦ φρένα τέρπε· δυϲηλεγέων δὲ πολιτῶν
ἄλλοϲ τοί ϲε κακῶϲ, ἄλλοϲ ἄμεινον ἐρεῖ.

---

**793** HARPOCRAT. p. 150 D. s. u. Θέογνιϲ·

---

**778** τερπομένωι B. κιθάρηι καὶ 𝕮 em. Ahr. κ. ⟨τ᾽ ἠδ᾽⟩ Sitz. Phil. Rdsch. 1882 p. 1605 Hi. Jb. 1888 p. 151 κιθάρηι⟨ϲ᾽ ἠδ᾽⟩ B. alii alia λ 603 τέρπεται ἐν θαλίηι **779** ἰαχοιϲί A ἰαχαῖϲι rel. cf. Α 473 Pind. Pyth. 3, 17 Hes. theog. 4 **783** 915 εἶδον μὲν γὰρ ἔγωγ᾽ **783 ss** cf. Beloch F.JJ. 34 p. 730 **784** ἀ. π. Pind. Is. 8, 49 s ad rem cf. Soph. fr. 239 N.$^2$ **785** τ᾽ det. δ᾽ boni Eur. Iph. A. 179 ἀπ᾽ Εὐρ. δ. cf. Corinn. 17 Λάδοντοϲ δονακοτρόφω **786** Pind. Pyth. 10, 66 φιλέων φιλέοντ᾽ . . . προφρόνωϲ. cf. 2, 16 **788** ad rem contulit H.-W. ι 29 ss (34) Eur. fr. 6 N.$^2$ **789 s** cf. Eur. Herc. 673 ss **791** Hom. hymn. Merc 506 τερπόμενοι φ. eodem cadit Ps.-Hes. scut. 282 Hom. hymn. Apoll. 1, 149 s καὶ ὀρχ. καὶ ἀ. . . . τέρπουϲιν **792** cf. 35 s **793** cf. Hes. op. 225 s **794** cf. 746 **794 ss** contulit Powell PhW. 1932, 623 Cass. Dion. 59, 16,6 **795** Hom. hymn. Merc. 565 ϲὴν αὐτοῦ φρένα τέρπε **795 s** = Mimn. 7 (ubi ἄλλοϲ τίϲ ϲε) cf. Wil.SS. 285

Τοὺϲ ἀγαθοὺϲ ἄλλοϲ μάλα μέμφεται, ἄλλοϲ ἐπαι-
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία. [νεῖ,

Ἀνθρώπων δ' ἄψεκτοϲ ἐπὶ χθονὶ γίνεται οὐδείϲ·
ἀλλ' ὧϲ λώιον, εἰ μὴ πλεόνεϲϲι μέλοι.

Οὐδεὶϲ ἀνθρώπων οὔτ' ἔϲϲεται οὔτε πέφυκεν,
ὅϲτιϲ πᾶϲιν ἁδὼν δύϲεται εἰϲ Ἀίδεω·
οὐδὲ γὰρ ὃϲ θνητοῖϲι καὶ ἀθανάτοιϲιν ἀνάϲϲει,
Ζεὺϲ Κρονίδηϲ, θνητοῖϲ πᾶϲιν ἁδεῖν δύναται.

Τόρνου καὶ ϲτάθμηϲ καὶ γνώμονοϲ ἄνδρα θεωρόν
εὐθύτερον χρὴ ⟨ἔ⟩μεν, Κύρνε, φυλαϲϲόμενον,
ὧιτινί κεν Πυθῶνι θεοῦ χρήϲαϲ' ἱέρεια
ὀμφὴν ϲημήνηι πίονοϲ ἐξ ἀδύτου·
οὔτε τι γὰρ προϲθεὶϲ οὐδέν κ' ἔτι φάρμακον εὕροιϲ,
οὐδ' ἀφελὼν πρὸϲ θεῶν ἀμπλακίην προφύγοιϲ.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέοϲ οὔ τι κάκιον,
τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον·
οἵ με φίλοι προὔδωκαν· ἐγὼ δ' ἐχθροῖϲι πελαϲθείϲ
εἰδήϲω καὶ τῶν ὅντιν' ἔχουϲι νόον.

Βοῦϲ μοι ἐπὶ γλώϲϲηι κρατερῶι ποδὶ λὰξ ἐπιβαίνων
ἴϲχει κωτίλλειν καίπερ ἐπιϲτάμενον.

---

**798** cf. 170 cum adn. **800** λώιον εἰ Cr. ει λώϊον A λώϊον ὃ Vat. cf. Add. **802** μ 383 δύϲομαι εἰϲ Ἀίδαο Hom. δῦναι δόμον Ἄιδοϲ εἴϲω **803** ∼ Μ 242 **804** Ζ. Κρ. Hes. op. 158 **805** θεωρῶν 𝔈 em. Vinetus **805** ss ad rem cf. 543 ss 945 Scol. Att. 9 **806** χρὴ μὲν 𝔈 (χρη μεν A) em. Ahr. **807** 'an κ' ἐν?' H.-W. **808** ad π. ἐξ ἀ. cf. Tyrt. 3ª, 2 **809** N. T. Apoc. 22, 18 s contulit H.-W. **810** οὐδ' A Vat. οὔτ' det. **811** μενοεικέοϲ A cf. Soph. El. 206 eodem cadit 1175 **812** ss cf. 1015 s **813** in. cf. 575. 861 **814** τῶν det. τὸν A Vat. eodem cadit 1016. cf. 366 et Χ 382 νόον ὄντιν' ἔχουϲιν **815** s cf. supra ad 19 s 365 s 504 et Aesch. Ag. 36 s fr. 316 N.² Soph. Oed. Col. 1051 s Philostr. uit. Apoll. 6, 11 p. 111 Theogn. 847 A. P. 12, 48. 5, 267, 4 Apoll. Rhod. 2, 220 Polluc. 9, 61 Zenob. 2, 70 Ν 618 γλώϲϲηϲ 𝔈 praeter A **816** Τ 80 ἐπιϲταμένωι περ ἐόντι

Κύρν᾽, ἔμπης δ᾽ ὅ τι μοῖρα παθεῖν, οὐκ ἔcθ᾽ ὑπαλύξαι·
ὅττι δὲ μοῖρα παθεῖν, οὔ τι δέδοικα παθεῖν.

Ἐc πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, cυναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἵ κ᾽ ἀπογηράcκοντας ἀτιμάζωcι τοκῆας,
τούτων τοι χώρη, Κύρν᾽, ὀλίγη τελέθει.

Μήτε τιν᾽ αὖξε τύραννον ἐπ᾽ ἐλπίδι κέρδεcιν εἴκων,
μήτε κτεῖνε θεῶν ὅρκια cυνθέμενοc.

Πῶc ὑμῖν τέτληκεν ὑπ᾽ αὐλητῆρος ἀείδειν
θυμόc; γῆc δ᾽ οὖροc φαίνεται ἐξ ἀγορῆc,
ἥ τε τρέφει καρποῖcιν ἐν εἰλαπίναιc φορέονταc
ξανθῆιcίν τε κόμαιc πορφυρέουc cτεφάνουc.
ἀλλ᾽ ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ᾽ εὐώδη χῶρον ἀπολλύμενον.

Πίcτει χρήματ᾽ ὄλεcca, ἀπιcτίηι δ᾽ ἐcάωcα·
γνώμη δ᾽ ἀργαλέη γίνεται ἀμφοτέρων.

Πάντα τάδ᾽ ἐν κοράκεccι καὶ ἐν φθόρωι· οὐδέ τιc
αἴτιοc ἀθανάτων, Κύρνε, θεῶν μακάρων, [ἡμῖν
ἀλλ᾽ ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβριc
πολλῶν ἐξ ἀγαθῶν ἐc κακότητ᾽ ἔβαλεν.

---

**817** cf. Μ 326 s + ε 345 **818** μαθεῖν[2] B.[4] **820** cf. 340 Tyrt. 5, 5 Mimn. 6, 2 Sol. 22, 4. 19, 18 **821** s cf. 277 s **821** κ᾽ boni δ᾽ det. H.-W. ἀτιμάζουcι 𝕮 (H.-W.) em. B. cf. Hes. op. 185. 187 et decalogi legem quartam **822** cf. 152 **823** ἐλπίcι 𝕮 em. Bekk. ex 333 **823** s ∼ 1179 ss **824** cf. decalogi legem quintam (?) **825** ex. = 533 **826** in dubium uocauit Wil.[1] **827** ante ἐν irrisionis neglegens lacunam statuit B. **828** nolui ξανθῆιc᾽ ἔν τε **829** s ad rem cf. Plat. leg. 1, 637[e] Anacr. 43, 5 Herod. 6, 84 Athen. 5, 221[a] H.-W. ad l. **829** ἀποπανε A **830** χῶραν A **831** cf. Hes. op. 372. 311 **832** μνήμη ci. Ahr. ἀνγαλεηι γείνεται A **833** ἐc φθόρον Aesch. Sept. 252 Ag. 1267 W. cf. Bacchyl. 14, 61 Thuc. 2, 52 **834** α 32 et Eur. fr. 256 N.[2] contulit H.-W. ἀθ. μάκ. θ. 759 θ. μακ. Α 339 θ 281 **835** ξ 329 ὕβριc τε βίη τε

Διccαί τοι πόcιοc κῆρεc δειλοῖcι βροτοῖcιν,
  δίψα τε λυcιμελὴc καὶ μέθυcιc χαλεπή·
τούτων δ᾽ ἂν τὸ μέcον cτρωφήcομαι, οὐ δέ με πείcειc
  οὔτε τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνοc ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ᾽ ἀχάριcτον,
  εὖτ᾽ ἂν θωρήξαc μ᾽ ἄνδρα πρὸc ἐχθρὸν ἄγηι.
ἀλλ᾽ ὁπόταν καθύπερθεν ἐὸν ὑπένερθε γένηται,
  τουτάκιc οἴκαδ᾽ ἴμεν παυcάμενοι πόcιοc.

Εὖ μὲν κείμενον ἄνδρα κακῶc θέμεν εὐμαρέc ἐcτιν,
  εὖ δὲ θέμεν τὸ κακῶc κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμωι κενεόφρονι, τύπτε δὲ κέντρωι
  ὀξέι καὶ ζεύγλην δύcλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ᾽ εὑρήcειc δῆμον φιλοδέcποτον ὧδε
  ἀνθρώπων, ὁπόcουc ἠέλιοc καθορᾶι.

Ζεὺc ἄνδρ᾽ ἐξολέcειεν Ὀλύμπιοc, ὃc τὸν ἑταῖρον
  μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόcθεν, ἀτὰρ πολὺ λώια δὴ νῦν,
  οὕνεκα τοῖc δειλοῖc᾽ οὐδεμί᾽ ἐcτὶ χάριc.

---

**837** μ 341 πάντεc μὲν cτυγεροὶ θάνατοι δειλοῖcι βροτοῖcιν δ. βρ. Hom. saepius **839** eodem fere cadunt 1363 Λ 648 ν 363 **840** ∼ 478 οὔτ᾽ ἔτι alii **841** ἀχάριcτοc Vat. det. H.-W. **841 ss** cf. 507 ss Ps.-Isocr. ad Demonic. 31 **843 s** sui iuris esse uoluit H.-W. **843** γ 170. 172 ἢ καθύπερθε . . . ἢ ὑπένερθε ἐὼν 𝔈 em. Epkema ἐόνθ᾽ Herm. H.-W. ad rem cf. 505 Petron. 64 Iuu. 6, 304 **844** Pind. Pyth. 4, 28 τουτάκι, ut 859 παυράκι secundum πολλάκι **845** ἄνδρα 𝔈 ἀνδρὶ Herm. ἄcτυ B. ad Sol. 4, 21 καλῶc A **846** εὖ θέμεναι δὲ κ. κ. J. L. (Revue de philol. 1901 p. 47) τὸ 𝔈 τι Kal. **847** Ζ 65 λὰξ ἐν cτήθεcι βάc (Ν 618) cf. 19 et 815 cum adn. cf. 233 κενεόφρονι δ. **847 ss** Soloni olim tribuit Hart. re uera a Solone ex Aristotele rediuiuo hi uersus Megarenses carpentes alieni non sunt (fr. 24) **848** cf. 1023 s **849 s** cf. 615 s 168 **851 s** cf. Hipparch. 2 μὴ φίλον ἐξαπάτα et supra 363 εὖ κώτιλλε τὸν ἐχθρόν **852** Hes. op. 373 s ἐξαπατάτω αἱμύλα κωτίλλουcα **853 s** = 1038$^{a\cdot b}$ (ubi 1038$^{a}$ recte λώιον ἤδη) cf. 955 s cf. Wil. Heracl.[2] 2, 54 **854** οὕνεκα A Vat. τοὕνεκα rel. cf. 956. 1340 Scol. Att. 14

Πολλάκι δὴ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾶι μέ τι δειλὸν ἔχοντα,
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

'Οἵ με φίλοι προδιδοῦσι καὶ οὐκ ἐθέλουσί τι δοῦναι
ἀνδρῶν φαινομένων· ἀλλ' ἐγὼ αὐτομάτη
ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὖτις ἔσειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.'

Πολλοῖς' ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν, ὃς οὔτ' αὐτῶι βέλτερος οὐδὲν ἐών
οὔτε φίλοις'. ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν

---

**865—868** Stob. 4, 42 (π. τῶν παρ' ἀξίαν εὐτυχούντων), 6 p. 951 H. [SMA] τοῦ αὐτοῦ (Θεόγνιδος) **868** Hesych. σαοῖ· βοηθεῖ. καὶ σώιζει.

---

**855** πολλάκις ἡ 𝕮 (ς eras. A) (H.-W.) em. O. Schn. et Sint. **855s** cf. Sol. 4 cum adn. 3, 1ss 8, 1 **857** μ' ἔτι A **857ss** cf. 299s 697s 929s Eur. fr. 465 N.² Marc. Arg. Anth. Pal. 5, 113 Ou. trist. 1, 9, 5s **859** ad παυράκι cf. 844 **861** idem exordium 575, sim. 813 **861s** με δοῦναι ἀνδρῶν τὠραμένωι Wil.[1] **861ss** loquitur meretricula **863** αὖθις A cum paucis det. εἴσειμι A **865** cf. 149. 321 **865ss** Tyrtaeum uersus condidisse ci. B., auctor non immemor erat Glauci Hectorem castigantis P 140ss **866** οὔτ' αὐτῶι A οὔθ' αὑτῶι plerique αὐτῷ Stob. M αὑτῷ SA οὐδὲν ἐὼν: ἔνδον ἐὼν Sitz. alii alia **866s** contulit B. Xenoph. apol. Socr. 31 οὔτε τῆι ἑαυτοῦ πόλει οὔτε τοῖς φίλοις οὔτε αὑτῶι ἄξιος οὐδενὸς ἐγένετο **867** οὔτε: οὐδὲ Stob. 𝕮 eodem cadunt B 325 H 91 ω 196 cf. Tyrt. 9, 31 Eur. fr. 734 N.² **868** cf. P 144 πόλιν καὶ ἄστυ σαώσεις et Callin. 1, 20 τε om. Stob. SA **869** O 36 al. Hes. theog. 110. 702. 840 οὐρ. εὐρ. ὕπ. **869s** P 425 χάλκεον οὐρανόν ο 329 σιδήρεος οὐρ. **869ss** cf. Hor. carm. 3, 3, 7s

χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς' ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμ-
οὔτε ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι. [παν
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἄν σέ τε μωμήσαιτο,
τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἥβα μοι, φίλε θυμέ· τάχ' αὖ τινες ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς' ὑπὸ Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευς' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι θεοῖσι φίλος Θεότιμος,
ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι· κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

---

**870** Hom. hymn. Ven. 108 Cer. 353 Hes. theog. 879 χαμ. ἀνθρ. **872** ρ 446 πῆμα . . . δαιτὸς ἀνίην ('Οδυσσέα) nota ἀνΐη **873** αἰνέω Hi.-Cr. in μηδέ σε πάμπαν cadit Υ 108, in οὐδ' ὅ γε π. Μ 406 **874** = 1092 **875** τε boni γε det. **876** ἐπαινήσει Vat. ἐπαινήσῃ A em. Br. contulit H.-W. Aristot. fr. 524 Bekk. χαῖρε, . . . Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης **877** ηβανοι A ἡβάοἱ Vat. em. Ahr. B. cf. Hesych. s. u. ἡβᾶν· . . . εὐωχεῖσθαι (Lav.) **877s** = 1070[a.b] Mimn. sapiunt cf. Phoenic. 3, 17 θυμὸς appellatur 695. 1029 quoque **878** aliter Β 699 eodem cadit A. P. 5, 84, 2 **879** ἀπὸ (ἄπο) 𝔈 em. Hecker ex Hom. hymn. 17, 3 ὑπὸ Τηϋγέτου κορυφῆς **879** ss Theognis, si re uera auctor est, hospitem Spartanum loquentem inducit cf. Wil. TG. 118 **881** cf. Λ 87 al. Hes. op. 510 οὔρ. ἐν β. + Tyrt. 4, 1 **882** ad Πλ. cf. Paus. 3, 23, 1. 4, 34, 4 **883** cf. 1323 θ 149 Cypr. 7 Hor. carm. 2, 11, 17s A. P. 11, 55, 1 **884** θωρηχθῆς A θ. 508 ἐλαφρότερος edit. cum 𝔈 praeter A (ἐλαφρότερως). sed cf. Kühner-Gerth 1 38 eodem cadit A. P. 9, 259, 2 **885** ω 486 πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω cf. Hübner l. c. (ad 525) p. 262 **886** Ι 64 πολέμου ἔραται

Μηδὲ λίην κήρυκος ἀν᾽ οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρώιας γῆς πέρι μαρνάμεθα.
ἀλλ᾽ αἰςχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ᾽ ἐςιδεῖν.

Οἴ μοι ἀναλκείης· ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Ληλάντου δ᾽ ἀγαθὸν κείρεται οἰνόπεδον·
οἱ δ᾽ ἀγαθοὶ φεύγουςι, πόλιν δὲ κακοὶ διέπουςιν.
ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέςειε γένος.

Γνώμης δ᾽ οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῶι
οὐδ᾽ ἀγνωμοςύνης, Κύρν᾽, ὀδυνηρότερον.

Κύρν᾽, εἰ πάντ᾽ ἄνδρεςςι καταθνητοῖς χαλεπαίνειν...
γινώςκειν, ὡς νοῦν οἷον ἕκαςτος ἔχει
αὐτὸς ἐνὶ ςτήθεςςι, καὶ ἔργματα τῶν τε δικαίων
τῶν τ᾽ ἀδίκων, μέγα κεμ πῆμα βροτοῖςιν ἐπῆν.

Ἔςτιν ὃ μὲν χείρων, ὃ δ᾽ ἀμείνων ἔργον ἕκαςτον·

---

891 Hesych. Κήρινθος· ... πόλις Εὐβοίας 892 Hesych. Ληλάντου πεδίον· τῆς Εὐβοίας, ὠνομαςμένον ἀπὸ Ληλάντου βαςιλέως

---

887 ἀν᾽ οὖς plerique ανιοῦςιν A cf. 461 Β 224 μακρὰ βοῶν cf. Proclidae epigr. 182 K. et Tyrt. 6, 18 (Croen.) 889 s cf. 949 ss sui iuris esse uoluit H.-W. Θ 128 s ἵππων ὠκυπόδων ἐπέβηςε cf. Β 383 Ε 255 890 π. δ. Ε 737 al. 891 ἀναλκίης 𝕮 (H.-W.) em. Bekk. ad Hom. ἀναλκείηιςι 891 ss 'loquitur Eretriensis uel Eretriensium socius' Be. 892 Hom. hymn. Ap. 2, 42 ςτῆς δ᾽ ἐπὶ Ληλάντωι πεδίωι οἰν. Ι 579 894 κυψελίζων A explicauerunt Herm. et B. ad rem cf. B. ad l. Busolt Gr. Gesch. 1² 650, 6 Suid. s. u. Κυψελιδῶν ἀνάθημα· ἐξώλης εἴη Κυψελιδῶν γενεά δ 668 Ζεὺς ὀλέςειε 895 cf. 1171 s 897 Ζεὺς εἰ π. B. H.-W. χαλέπαινεν Herm. H.-W. 'ingrueret' Kal. 897 s inter se non cohaerere uidit Cam. 898 ∼ 312 cum adn. γινώςκειν ὡς A γινώςκων ὡς rel. γινώςκων καὶ Hart. H.-W. γ. Ζεὺς B.³ 899 s τῶι δὲ δικαίωι τῶι τε (δ᾽) ἀδίκωι fere 𝕮 em. Herm. et B., dat. retinet Kal. 900 κεμ A κεν rel. 901 ἑκάςτου 𝕮 em. Bekk.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
ἤμελλ' ἐκτελέσας εἰς Ἀίδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον.
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν
καὶ δάκνομαι ψυχὴν καὶ δίχα θυμὸν ἔχω.
ἐν τριόδωι δ' ἕστηκα. δύ' εἰσὶ τὸ πρόσθεν ὁδοί μοι·
φροντίζω τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο κοὔποτε γαστρί
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄιδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,
ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ὧι κ' ἐθέληι τις.

---

**902** idem exordium 973. 1364 αὐτὸς plerique αἰστὸς A, unde ἔσθ' ὃς Mein. ad rem cf. Eur. Rhes. 106 s **903—930** Attica haec elegia ('nota δᾰκν-' Us.) aeui fere Platonici a Theognide et argumento et sermone longe differt **903** μετὰ ci. Wil.¹ χρήματ' ἀθύρων ci. Cr. sed audias τηρεῖ, θηρῶν, legas 923 s cf. 912. 914 **904** συνιει A **905** Η 104 Π 787 βιότοιο τελευτή τι A, **905 ss** contulit H.-W. Bacchyl. 3, 78 ss Lucian. A. P. 10, 26 s u. Cataudella Athen. 1928, 249 ss **906** αἴδαω A **907** Α 416 ἐπεί νύ τοι αἶσα μίνυνθά περ **908** τοῦτο νιν A τοῦτον ἵν' Bekk. H.-W. βίον est βίοτον **909** Α 254 Η 124 μέγα πένθος Λ 658 πένθεος ὅσσον ὄρωρε **910** Plat. conu. 218ᵃ τὴν καρδίαν ... δηχθείς τυχην A τ 524 ἐμοὶ δίχα θυμὸς ὀρώρεται **911** τὸ πρόσθεν A def. Croen. quoque εἰσί(ν) πρόσθεν edit. **911 s** Plat. leg. 7, 799ᶜ καθάπερ ἐν τριόδωι γενόμενος καὶ μὴ σφόδρα κατειδὼς ὁδόν, ... ἀνέροιτ' ἂν αὑτὸν καὶ τοὺς ἄλλους τὸ ἀπορούμενον. καὶ οὐκ ἂν πρότερον ὁρμήσειε κτλ. 'cf. Xen. mem. 2, 1, 21 ss' Kal. **913** τ 360 ἐν κακότητι βροτοὶ καταγηράσκουσιν **914** τερπνῶν A **917** ψ 252 κατέβην δ. Ἄ. εἴ. **918 s** ὁ ἐπιτυχών et ἄκαιρος Plat. **919** ω κε

εἶδον δ᾽ ἄλλον, ὃς ἧι γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ᾽· ʽὑπάγω φρένα τέρψας᾽
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν᾽ ἴδηι.
οὕτω, Δημόκλεις, κατὰ χρήματ᾽ ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλωι κάματον μεταδοίης,
οὔτ᾽ ἂν πτωχεύων δουλοσύνην τελέοις
οὐδ᾽, εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ᾽ ἀποδραίη.
ἐν δὲ τοιῶιδε γένει χρήματ᾽ ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῆις, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι, κοὐκέθ᾽ ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ᾽ ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾶι χρήματα λειπόμενα.

Παύροις᾽ ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ᾽ αὐτόν
χώρης εἴκουσιν τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει οὐδέ τις αὐτόν
βλάπτειν οὔτ᾽ αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῆι λίγ᾽ ἀειδέμεν ὥσπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ᾽ ἐπὶ κῶμον ἔβην.

---

933 s Floril. Monac. 114

---

θελη τις A ὥς κ᾽ ἐθέλοι τις plerique ὧι κ᾽ ἐθέλοι τις Bekk. H.-W. ὧι κε θέληισιν (?) Wil.[1] **920** cf. 1000 γ. χαριζόμενοι cf. A. P. 9, 249, 4. 573, 2 Iuba A. P. app. 5, 29 **921** ὕπαγ᾽ ὤ, φρένα τέρψας ci. Raderm. ex Eurip. Cyclop. 52 al. **924** Hes. op. 457 τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι **925** ss cf. Hi. Jb. 1888 p. 152 **927** ο 246 οὐδ᾽ ἵκετο γήραος οὐδόν **929** s cf. 697 s 857 ss cum adn. **933** P 251 τιμὴ καὶ κῦδος ὀπηδεῖ. cf. θ 237 **933** s cf. Jüthner Charisteria f. Rzach p. 117 **934** αμφοτερον A **935—938** ∼ Tyrt. 9, 37—42 cf. Reitz. Ep. u. Sk. p. 64[2] sui iuris esse maluit H.-W. **937** γηράσκων ⟨δ᾽⟩ Orelli H.-W. **939** cf. 695 et Kretschmer Vaseninschr. 56 p. 87 ἀδέμεν 𝕮 em. Schnw. 242 s λιγέα ἄισονται κ 254 λίγ᾽ ἄειδεν Alcm. 40 λίγ᾽ ἀείσομαι

οὐδὲ τὸν αὐλητὴν προφαcίζομαι· ἀλλά με γῆρυc
 ἐκλείπει coφίηc οὐκ ἐπιδευόμενον.

Ἐγγύθεν αὐλητῆροc ἀείcομαι ὧδε καταcτάc
 δεξιὸc ἀθανάτοιc θεοῖcιν ἐπευχόμενοc.

Εἶμι παρὰ cτάθμην ὀρθὴν ὁδὸν οὐδετέρωcε
 κλινόμενοc· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.
πατρίδα κοcμήcω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμωι
 τρέψαc οὔτ' ἀδίκοιc' ἀνδράcι πειθόμενοc.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣc ἀλκὶ πεποιθώc
 ποccὶ καταμάρψαc αἵματοc οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰc πόλιν οὐκ ἀλάπαξα·
 ζευξάμενοc δ' ἵππουc ἅρματοc οὐκ ἐπέβην·
πρήξαc δ' οὐκ ἔπρηξα καὶ οὐκ ἐτέλεccα τελέccαc·
 δρήcαc δ' οὐκ ἔδρηc', ἤνυcα δ' οὐκ ἀνύcαc.

Δειλοὺc εὖ ἕρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
 χηρώcει πολλῶν καὶ χάριc οὐδεμία.

---

**947** s Stob. 3, 39 (π. πατρίδοc), 15 p. 724 H. [SMA] Θεόγνιδοc· **955** s Stob. 2, 46 (π. ἀχαριcτίαc), 12 p. 261 W. [L] Θεόγνιδοc·

---

**941** s μ' ἑταῖροc ... ἐπιδευόμενοc 𝔈 em. Emp. **942** sim. cadit A. P. 5, 248, 4 **943** cf. 533. 825 **944** θεοῖc A Vat. eodem cadit 358 cf. 1116 ξ 423 φ 203 ἐπηύχετο πᾶcι θεοῖcιν **945—948** Solonis esse censet B. secutus Geyso p. 59 cf. Sol. 24, 19. 3, 32. 39. 4, 8. 5, 1 ss **945** s cf. 543 ss 805 s **946** cf. 154 **947** s sui iuris esse uoluit H.-W. **948** πρέψαc Stob. 𝔈 **949** Θ 248 νεβρὸν ... τέκοc ἐλάφοιο Ε 299 al. λέων ὣc ἀ. π. cf. Plat. Charm. 155[d] **949** s = 1278[c.d] **949** ss **959** ss uersus erotici. cf. Callim. epigr. 28 Herond. 1, 25 **950** καταιμάρψαc A e corr. 1278[d] Ε 65 Π 598 κατέμαρπτε διώκων λ 96 αἵματοc ... πίω **951** Β 367 πόλιν οὐκ ἀλαπάξειc **952** γ 492 al. ἵππουc τ' ἐζεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον Ε 192 ἅρματα τῶν κ' ἐπιβαίην **953** s οὐκ quater Schn. **955** in. cf. 105 αὐτοῦ 𝔈 H.-W. **955** s cf. 853 s **956** χηρώcει Theogn. 𝔈 χήρωcιc Stob. 𝔈 χηρεύcει Br. πολλῶν Theogn. 𝔈 κτεάνων Stob.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
  χρήιζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
  ἡδύ τί μοι δόκεεν καὶ καλὸν εἶμεν ὕδωρ.
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ,
  ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μήποτ' ἐπαινήσηις, πρὶν ἂν εἰδῆις ἄνδρα σαφηνέως,
  ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅστις ἂν ἦι.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
  κρύπτους' ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
  καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι
  ἤθεα· νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω.

---

**963—968** Stob. 3, 1 (π. ἀρετῆς), 65 p. 26 H. [MA] Θεόγνιδος· **963** Orio anth. 8, 11 p. 54, 6 Schn. Floril. Monac. 107

---

**958** 1333 χρηίζων . . . ἐλεύσεαι ρ 121 ὅττευ χρηίζων ἱκόμην Λακεδαίμονα δῖαν αὖθις A **959** ss cf. H.-W. ClRev. 1925, 101 ss **959** ἀ. κρ. μελ. Π 160 Φ 257 **960** ἐδόκει 𝔈 (H.-W.) em. Herm. ημεν A H.-W. εἶμεν rel. ἔμμεν Herm. **961** ἰλυῖ Ahr. (cf. eiusdem Beitr. z. Etymol. p. 175, 6 et fr. mel. adesp. 84, 16 B[4].) ὕδει 𝔈 ὕληι Cr. ex Aristoph. fr. 879 p. 587 K. (cf. Meister Herodas p. 90) 'an ὕλει ad ὗλις Et. Magn. Herodian. I p. 90?' Cr. **962** cf. A. P. 5, 46. 28 Reitz. Ep. u. Sk. 69 **963** ἐπαινέσηις Stob. Orio Flor. Mon. ἄνδρα ἴδηις Orio Flor. Mon. σαφηνέως Flor. Mon. (cf. Herod. 1, 140) -ς ἀφανέως M[d] Stob. (periit A) σαφηνῶς Theogn. 𝔈 (H.-W.) σώφρονα Orio Flor. Mon. **963** ss cf. 117 ss A. P. 5, 186 (Kaegi p. 44) **964** ῥ.: θυμὸν Stob. ὅστις ἂν ἦι 𝔈 ὅντιν' ἔχει Stob. (H.-W.) Archil. 67 a, 7 γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει. cf. Anacr. 65 et Hesych. ῥυθμός· τρόπος **965** κίβδηλοι ci. Epkema Hes. op. 67. 78 ἐπ. ἦ. **966** Ι 639 ἵλαον ἔνθεο θυμόν ἐφ. ut 656 **967** πάντως Theogn. unus e det., ut Epkema correxit, πάντων Theogn. rel. Stob. **969** σευ Hi.-Cr. **969** s δ 493 δαῆναι ἐμὸν νόον **970** δ' ἤδη: πέτρης Ahr. δ' ἠκῆς Studem. (ex Archil. 43) ατ' A νηύς' ἅτε βὰς ci. Kal.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾶι καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψηι
εἴς τ' Ἔρεβος καταβῆι, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων
οὔτε Διωνύσου δῶρ' ἐπαειρόμενος.
ταῦτ' ἐσορῶν κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρά
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσηι φίλος, ἀλλὰ καὶ ἔργωι,
χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίηισι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρηι.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐ δ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη,
αἵ τε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν

---

**979** Floril. Monac. 147

---

**973** idem exordium 901. 1364 N 114 κατὰ γαῖα καλύπτει καλύψει 𝕮 em. Turn. **973** ss cf. fr. chor. adesp. 16 Hor. carm. 1, 4, 17 ss **974** Π 327 βήτην εἰς Ἔρεβος eodem cadit 1296 cf. A. P. 11, 274, 2 **976** διονύσου A δῶρ' ἐσαειράμενος 𝕮 emendaui δῶρον ἀειρόμενος Schae. B. H.-W. cf. 501 **977** ὄφρ' ἔτ' Schnw. H.-W. **977** s cf. Hor. iamb. 13, 3 s **978** ss cf. 63 **980** σπεύδου A σπεύδει Vat. em. det. σπεύδων Hartel et Dreykorn σπεύδειν B. ad ἀμφ. cf. 608 **981** κλητῆρι A κρητῆρσι (-ρα O) rel. em. Bekk. θέλγοις A em. Bekk. σ 282 s θέλγε δὲ θυμόν μειλιχίοις' ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα **983** ss 'fort. Mimnermi sunt' B. **983** θαλίεσσι A θαλίαισι Vat. em. det. **984** an περ ἦι? παρῆι Lav. πέληι ci. Bl. ex Mimn. 2, 12 **985** η 36 νέες ὠκεῖαι ὡς . . . νόημα Hom. hymn. Ap. 186 s ἀπὸ χθονὸς ὥστε νόημα εἶσι Simon. 115, 1 ἀγλαὸν . . . ἥβην Bacchyl. 5, 154 ἀγλαὰν ἥβαν **985** s om. A ad rem cf. 1005 s **986** Hom. hymn. Cer. 383 ἵππων . . . ὁρμήν **987** N 239 al. ἂμ πόνον ἀ.

λάβρως πυροφόρωι τερπόμεναι πεδίωι.

Πῖν᾽ ὁπόταν πίνωσιν· ὅταν δέ τι θυμὸν ἀςηθῆις,
μηδεὶς ἀνθρώπων γνῶι σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ᾽ ἔρδων
χαιρήσεις· δύναται ἄλλοτε δ᾽ ἄλλος ἀνήρ.

Εἰ θείης, Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ᾽ ἐν μέσσωι παῖς καλὸν ἄνθος ἔχων
σοί τ᾽ εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
γνοίης χ᾽ ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ᾽ ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅτου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ᾽ αἶψα θύραζε φέροι, στεφανώματα δ᾽ εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ᾽ ἀρετή, τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ σοφῶι.

---

**993—996** Athen. 7, 310[b] οὐδὲ τὸ παιδεραστεῖν ἀπαναίνεται ὁ σοφὸς οὗτος· λέγει γοῦν· praecedunt 997 ss **996** Evstath. in Il. 1291, 54 **997—1002** Athen. 7, 310[a] ἦν δὲ καὶ ὁ Θέογνις περὶ ἡδυπάθειαν, ὡς αὐτὸς περὶ αὑτοῦ φησιν διὰ τούτων· [997 ss] secuntur 993 ss

---

**988** Φ 602 πεδίοιο . . . πυροφόροιο. cf. Sol. 14, 2 **989** δ᾽ ἔτι A explic. Br. Herod. 3. 41 ἐπ᾽ ὧι ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη **992** χαιρῆισι A -ρήσειν rel. em. B. δ. δ᾽ ἄλλ. ἄ. ἀ. ci. B. (H.-W.) ad ἄλλ. ἄλλ. cf. Sol. 1, 76 **993** εἶτ᾽ εἴησα καλὴν μὲν ἐφίμερον ὕ. ἀ Athen. 𝔈 εἴθ᾽ εἴη σ᾽ Ἀκάδ. Turn. ἐφήμερον A (Vat.) em. det. Theocr. 1, 61 ἐφίμ. ὕ. ἀείσηις Apoll. Rhod. 4, 1397 ἐφ. ἀείδουσαι **994** καλὸς Athen. cf. 1007 s **995** σοι τι ειη A δηρισάντων A Vat. (-ησ-) δηρησάντοιν det. quidam δηριόωσι Athen. **996** χ᾽ det. Athen. τ᾽ A θ᾽ Vat. cf. Anan. 2, 3 **999** δὴ Athen. τε Theogn. det. δὲ A Vat. ὅπου 𝔈 ὅσου Athen. (H.-W.) em. Mein. ὅσον ci. Bl. **1000** γ. χ. 920 cum adn. **1002** ῥαδινῆις Athen. 𝔈 cf. 6 **1003—1006** ∼ Tyrt. 9, 13 ss eodem cadit Γ 50 **1004** eodem cadit 120

ξυνὸν δ' ἐcθλὸν τοῦτο πόληΐ τε παντί τε δήμωι,
   ὅcτιc ἀνὴρ διαβὰc ἐν προμάχοιcι μένει.

Ξυνὸν δ' ἀνθρώποιc' ὑποθήcομαι, ὄφρα τιc ἥβηc
   ἀγλαὸν ἄνθοc ἔχων καὶ φρεcὶν ἐcθλὰ νοῆι,
τῶν αὑτοῦ κτεάνων εὖ πacχέμεν· οὐ γὰρ ἀνηβᾶν
   δὶc πέλεται πρὸc θεῶν οὐδὲ λύcιc θανάτου
θνητοῖc' ἀνθρώποιcι. κακὸν δ' ἐπὶ γῆραc ἐλέγχει
   οὐλόμενον, κεφαλῆc δ' ἅπτεται ἀκροτάτηc.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιοc, ὅcτιc ἄπειροc
   ἄθλων εἰc Ἀίδεω δῶμα μέλαν κατέβη,
πρίν τ' ἐχθροὺc πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκηι
   ἐξετάcαι τε φίλουc, ὅντιν' ἔχουcι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄcπετοc ἱδρώc,
   πτοιῶμαι δ' ἐcορῶν ἄνθοc ὁμηλικίηc
τερπνὸν ὁμῶc καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
   ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥcπερ ὄναρ
ἥβη τιμήεccα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
   αὐτίχ' ὑπὲρ κεφαλῆc γῆραc ὑπερκρέμαται.

Οὔποτε τοῖc' ἐχθροῖcιν ὑπὸ ζυγὸν αὐχένα θήcω

---

**1005** s cf. Tyrt. 7, 29 ss **1006** μένηι Cam. H.-W. **1007—1012** Mimnermo uindicauit B. **1007** ad ὑπ. cf. 27 et 1049 cum adn. **1007** ss cf. 1070 **1008** ἔχων ℭ praeter Marc. (ἔχη) καὶ intensiuum est (Kai.) cf. Hi. Jb. 1888 p. 153 **1009** αὐτοῦ ℭ (H.-W.) **1011** καλὸν B. H.-W. ἐλαύνει Hart. Hi. ἐρείδει Cr. caue ἐφέρπει num κακὸν obi. est? **1011** s κακῶι del. δ'² Ahr. cf. 1022 Mimn. 5, 3 A. P. 11, 25 **1013** ss cf. 377 ss 341 ss **1014** αιδου A em. Bekk καταβῆι Vat. **1015** τ': γ' ci. Bekk. ad ὑπ. cf. 1247 et I 501 πρὸc ἀνάγκην ci. Cr. **1015** s cf. 812 ss **1016** τε: δε A eodem cadit 814 cf. 366 **1017** s cf. Λ 811 al. Hes. op. 447 Sapph. 2, 13 s et u. 6 **1017** ss cf. Schadewaldt Ant. 9, 282 ss **1018** ad πτ. cf. χ 298 ειcορων A ad ὁμ. cf. N 431 **1019** ὤφειλεν boni **1020—1023** ∼ Mimn. fr. 5 cf. Wil. SS 285 ss **1020** s cf. Theocr. 27, 8 **1022** ἐπικρέμαται Hecker ex 1184 **1023** ὑποζύγιον A **1023** s Mimnermo tribuit B. cf. Geyso p. 61 cf. 1357 s ἐπὶ ζυγὸν αὐχένι κεῖται δύcμορον et Hes. op. 815 ἐπὶ ζυγὸν αὐχένα θεῖναι et Hom. hymn. Cer. 217 ἐπὶ γὰρ ζυγὸc αὐχένι κεῖται

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

δύcλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεςτι κάρηι.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰcίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα, θυμέ, κακοῖcιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
μὴ δὲ cύ γ' ἀπρήκτοιcιν ἐπ' ἔργμαcιν ἄλγος ἀέξων
ἔχθει μηδ' ἄχθου, μηδὲ φίλους ἀνία
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχηι Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐςτ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆςαι,
ὡς ἐν ἐμοὶ γνώμη, Κύρνε, πάλαι κέκριται.

1038a Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώιον ἤδη,
b οὕνεκα τοῖς δειλοῖς' οὐδεμί' ἐςτὶ χάρις.

---

**1029—1034** Stob. 4, 56 (παρηγορικά), 9 p. 1125 H. [SMA] Θεόγνιδος·

---

**1024** δ. 848 **1027** s cf. 623 s Hes. op. 287 ss **1029** K 232 P 68 θυμὸς ἐτόλμα cf. 695 s θυμέ, ... τέτλαθι et 355 τόλμα, Κύρνε et orac. ap. Herod. 5, 56 τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῶι 695 θυμέ 877 φίλε θυμέ ὁμῶς Stob. 𝕮 **1029** ss 'cf. Archil. 67ª 58' Be. **1030** ~ 366 **1031** γ' Theogn. det. Stob. τ' Theogn. boni ἐπ': ἐφ' Stob. 𝕮 P 139 πένθος . . . ἀέξων **1032** ἔχθει Theogn. 𝕮 αὔχει Stob. 𝕮 ὄχθει Emp. B. H.-W. μόχθει Cr. ἄχθου det. ἄχθευ Cr. εχθει A ἄχθει Vat. αἴςχεα Stob. 𝕮 **1033** ευφρηνε A θέλων A **1033** s cf. 1190 et Φ 265 s **1034** οὐκ ἂν: ἃ οὐ (οὔ) Stob. 𝕮 ρηϊδιος A **1035** Eur. Hipp. 744 ὁ ποντομέδων πορφυρέας λίμνας **1035** s Pind. fr. 207 Schr. Ταρτάρου πυθμήν **1036** αὐτὸς ci. Herm. Θ 13 Τάρταρον ἠερόεντα **1038** ἐμοὶ A ἐμῆ rel. **1038**a. b = 853 s (ubi 853 λώια δὴ νῦν)

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
μὴ πίνους᾽ ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι· παρὰ κλαίοντι γελῶντες
πίνωμεν κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν· φυλακὴ δὲ πόλεος φυλάκεσσι μελήσει
ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.
ναὶ μὰ Δί᾽, εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα καλὰ λέγοντες·
ἅσσα δ᾽ ἔπειτ᾽ ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δ᾽ ἐγὼ οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτός
ἐσθλά· σὺ δ᾽ ἐν θυμῶι καὶ φρεσὶ ταῦτα βάλευ·
μήποτ᾽ ἐπειγόμενος πράξηις κακόν, ἀλλὰ βαθείηι
σῆι φρενὶ βούλευσαι σῶι ἀγαθῶι τε νόωι·
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
βουλὴ δ᾽ εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
αὔλει καὶ Μουσῶν μνησόμεθ᾽ ἀμφότεροι.
αὗται γὰρ τάδ᾽ ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα

---

**1039** cf. 1069 Reitz. Ep. u. Sk. 64[2] **1039 s** cf. Alc. 94 s cum adn. **1040** καὶ: τοῦ Reitz. l. c. **1041 s** humanius sensit 1217 s **1043** πόλεως A πόλευς H.-W. **1043 s** adhibuit Antiphil. A. P. 9, 413. cf. Reitz. Ep. u. Sk. 57 **1045 s** sui iuris esse uoluit H.-W. **1045** τόνδε A Vat. **1048** ἔπειθ᾽ A **1049** σοι δε τω A em. B. cf. μ 217 Hes. op. 107 ὑπ. sicut 27. 1007 **1050** Hom. σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῆισι **1051** πράξης A Vat. βαθείης A **1051 s** Τ 125 κατὰ φρένα . . . βαθεῖαν **1052** α 444 βούλευε φρεσὶν ἧισιν ὁδόν σω τ (i. σῶι. an = σώωι τ᾽? Kal.) αγαθω τε A γ 266 al. φρεσὶ γὰρ κέχρητ᾽ ἀγαθῆισιν **1053** Eur. Bacch. 332 νῦν γὰρ πέτει τε καὶ φρονῶν οὐδὲν φρονεῖς Δ 309 νόον καὶ θυμόν **1054** β 281 al. βουλήν τε νόον τε νόον ἐσθλὸν 𝕮 νόος ἐ. B. νόος ἐσθλὸς Hart. H.-W. **1055 s** cf. Xenophan. 6, 1 ἐάσ. et μνησ. coniunctiui **1056** μουσέων B. **1057** αὐταὶ Cr. ad Tyrt. 2, 1 Theogn. 773 κεχ. . . . δ. Υ 298 s

coì καὶ ἐμοί, ⟨μελέ⟩μεν δ᾽ ἀμφιπερικτίοcιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γινώcκειν χαλεπὸν καίπερ ἐόντι coφῶι.
οἳ μὲν γὰρ κακότητα κατακρύψαντεc ἔχουcιν
πλούτωι, τοὶ δ᾽ ἀρετὴν οὐλομένηι πενίηι.

Ἐν δ᾽ ἥβηι πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν
ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον·
ἔcτι δὲ κωμάζοντα μετ᾽ αὐλητῆροc ἀείδειν·
τούτων οὐδέν τοι ἄλλ᾽ ἐπιτερπνότερον
ἀνδράcιν ἠδὲ γυναιξί. τί μοι πλοῦτόc τε καὶ αἰδώc;
τερπωλὴ νικᾶι πάντα cὺν εὐφροcύνηι.

Ἄφρονεc ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόνταc
κλαίουc᾽ οὐδ᾽ ἥβηc ἄνθοc ἀπολλύμενον.

1070 a Τέρπεό μοι, φίλε θυμέ· τάχ᾽ ἄν τινεc ἄλλοι ἔcονται
b ἄνδρεc, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν᾽ ἔcομαι.

Κύρνε, φίλουc πρὸc πάνταc ἐπίcτρεφε ποικίλον ἦθοc
cυμμίcγων ὀργὴν οἷοc ἕκαcτοc ἔφυ.
νῦν μὲν τῶιδ᾽ ἐφέπου, τοτὲ δ᾽ ἀλλοῖοc πέλευ ὀργήν·
κρεῖccόν τοι coφίη καὶ μεγάληc ἀρετῆc.

---

**1061 s** Stob. 4, 33 (cύγκριcιc πενίαc καὶ πλούτου), **9** p. 799 H. [SMA] Θεόγνιδοc·

---

**1058** ⟨μελέ⟩μεν δ᾽ Ahr. μεν δ᾽ A νυν Vat. μὴν rel. μέλομεν δ᾽ Hi. μενέμεν δ᾽ Kal. ἀμφ. Callin. 1, 2 **1059** τιμαγαραπόλλων A em. Cam. Hom. hymn. Merc. 403 ἀπ. ἰδών **1061 s** ad rem cf. 525 s cum adn. 683 ss 1117 s **1062** Hes. op. 717 οὐλομένην πενίην cf. A. P. 9, 367, 12. 169, 2 **1063—1068** Mimnermo tribuerunt B. alii **1064** Hom. ἐξ ἔρον ἕντο **1065** cf. 533. 825. 1041 **1066** τοι det. τι Vat. om. A οὐδέν τοι τούτων Rich. H.-W. ⟨ἔπεc⟩τ᾽ O.Schn. ⟨ἔνεc⟩τ᾽ Cr. cf. Add. **1067** in. = υ 408 Mimn. 1, 5 in. **1069** cf. 1039 **1069 s** cum Mimn. 6 conglutinauit Bl. **1070** cf. 1007 s ἥβηc ἀγλαὸν ἄνθοc N 484 ἤ. ἄ. infra 1131 s **1070**[a. b] = 877 s **1071—1074** ∼ 213—218 cf. 1083 s 1257 s **1073** τῶιδ᾽: τοδ᾽ A ἐφέπευ Hi.-Cr **1074** eodem cadit A. P. app. 3, 39

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτήν
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι·
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
οὐ ξυνετὰ θνητοῖς πείρατ᾿ ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκηι ἄνδρα
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος·
1082 a ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονες, ἡγεμόνες δέ
b τετράφαται πολλὴν εἰς κακότητα πεσεῖν.

c Μή μ᾿ ἔπεσιν μὲν στέργε, νόον δ᾿ ἔχε καὶ φρένας
εἴ με φιλεῖς καί τοι πιστὸς ἔνεστι νόος, [ἄλλας,
ἀλλὰ φίλει καθαρὸν θέμενος νόον ἤ μ᾿ ἀποειπών
f ἔχθαιρ᾿ ἐμφανέως νεῖκος ἀειράμενος.
οὕτω χρὴ τόν γ᾿ ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλωι.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστηι
τοῦθ᾿ ἔρδειν, ὅ τί σοι μὴ καταθύμιον ἦι.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίηι
ναίετ᾿ ἐπ᾿ Εὐρώται, καλλιρόωι ποταμῶι,
εἴ ποτε βουλεύσαιμι φίλωι κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

᾿Αργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·

---

**1078** π. ά. 140 **1081—1082**b = 39 ss cf. Heinem. H. 34, 594 Wil.SS. p. 285 **1081** s N 633 ἄνδρεσσι . . . ὑβριστῆισιν **1082**c—f = 87 ss **1082**e εἴ μ᾿ ἀπ. A **1083** cf. 213 **1083** s cf. 319. 1071 ss ς 215 οὐκέτι σοι φρένες ἔμπεδοι οὐδὲ νόημα **1084** item incipit π 107 (ἔχων) cf. 319. 317 Hom. hymn. Merc. 462 ἐς τέλος **1085** δημων αξιοι δε πολλα A interpretatus est et emendauit Welck. **1086** = 1238 καταθ. 617. 1283 **1087** γ 326 ν 440 Λακεδαίμονα δῖαν **1089** s ad sententiam cf. Hes. op. 708 ss **1091** ss cf. 1219 ss Catull. 75. 85

οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώcκων χαλεπὸν μέν, ὅταν φίλοc ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ᾽ οὐκ ἐθέλοντα φιλεῖν.

Cκέπτεο δὴ νῦν ἄλλον, ἐμοί γε μὲν οὔ τιc ἀνάγκη
τοῦθ᾽ ἔρδειν· τῶν μοι πρόcθε χάριν τίθεcο.

Ἤδη καὶ πτερύγεccιν ἐπαίρομαι, ὥcτε πετεινόν
ἐκ λίμνηc μεγάληc, ἄνδρα κακὸν προφυγών
βρόχον ἀπορρήξαc· cὺ δ᾽ ἐμῆc φιλότητοc ἁμαρτών
ὕcτερον ἡμετέρην γνώcηι ἐπιφροcύνην.

Ὅcτιc coι βούλευcεν ἐμεῦ πέρι, καί c᾽ ἐκέλευcεν
οἴχεcθαι προλιπόνθ᾽ ἡμετέρην φιλίην.

Ὕβριc καὶ Μάγνηταc ἀπώλεcε καὶ Κολοφῶνα
καὶ Cμύρνην. πάντωc, Κύρνε, καὶ ὔμμ᾽ ἀπολεῖ.

1104 a Δόξα μὲν ἀνθρώποιcι κακὸν μέγα, πεῖρα δ᾽ ἄριcτον.
b πολλοὶ ἀπείρητοι δόξαν ἔχουc᾽ ἀγαθοί.
εἰc βάcανον δ᾽ ἐλθὼν παρατριβόμενόc τε μολύβδωι
χρυcὸc ἄπεφθοc ἐὼν καλὸc ἅπαcιν ἔcηι.

Ὦ μοι ἐγὼ δειλόc· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖc,
τοῖc δὲ φίλοιcι πόνοc δειλὰ παθὼν γενόμην.

---

**1092** = 874 **1093** γινωcκω A **1094** cf. 352 lusit Strato A. P. 12, 203 οὐκ ἐθέλοντα φιλεῖc με, φιλῶ δ᾽ ἐγὼ οὐκ ἐθέλοντα. cf. Kaegi p. 40 ss **1095** s ∼ 1160[a.b] cf. 1151. 1237 s et P 652 **1096** πρόcθεν A Eur. Ion. 1104 χάριν θέcθαι **1097** sensu translato 237 s **1098** λίμνηc: λόχμηc ci. Haupt op. 2, 567 et Herm. **1099** βρόκχον Scal. B. ad Hesych. βρύγχοc· βρόχοc(?) eodem cadit 1361 cf. 1379 **1100** ἐπιφρ. Hom. **1101** s = 1278[a.b] cf. 1239. 1262 **1102** προλιπόντ᾽ A post **1102** lacunam statuit H.-W. **1103** s cf. 541 s 603 s 1082 Mimn. 12, 4 Wil.SS. p. 283 RE XI 420 **1104** ss cf. Jüthner Charisteria f. Rzach p. 118 **1104[a.b]** = 571 s (ubi 572 ἀγαθῶν) **1105** = 1164[g] ∼ 417 μολίβδωι 𝕮 (H.-W.) **1105** s sui iuris esse uoluit H.-W. **1106** χρ. ἄπ. 449. cf. Herod. 1, 50 Thuc. 2, 13, 4 al. **1107** οἴ μοι A Τ 54 ὤ μοι ἐγὼ δειλή cf. Γ 51 δυcμενέcιν μὲν χάρμα **1107** s = 1318[a.b] (ubi ὤι μοι A. cf. Herodian. II 610 L.) **1108** φίλοιc ὁ A δειλὰ 𝕮 δεινὰ Cam. ad A 1318[b] γενοίμην A

Κύρν', οἱ πρόcθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρίν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐcορῶν,
τοὺc ἀγαθοὺc μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηcτεύει δ' ἐκ κακοῦ ἐcθλὸc ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοιcι γελῶcιν
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

1114 a Πολλὰ δ' ἀμηχανίηιcι κυλίνδομαι ἀχνύμενοc κῆρ·
b ἀρχὴν γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

Χρήματ' ἔχων πενίην μ' ὠνείδιcαc· ἀλλὰ τὸ μέν μοι
ἔcτι, τὰ δ' ἐργάcομαι θεοῖcιν ἐπευξάμενοc.

Πλοῦτε, θεῶν κάλλιcτε καὶ ἱμεροέcτατε πάντων,
cὺν coὶ καὶ κακὸc ὢν γίνεται ἐcθλὸc ἀνήρ.

Ἥβηc μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβοc Ἀπόλλων
Λητοΐδηc καὶ Ζεύc, ἀθανάτων βαcιλεύc,
ὄφρα δίκηι ζώοιμι κακῶν ἔκτοcθεν ἁπάντων
ἥβηι καὶ πλούτωι θυμὸν ἰαινόμενοc.

Μή με κακῶν μίμνηcκε· πέπονθά τοι οἷά τ' Ὀδυccεύc
ὅc τ' Ἀίδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύc,
ὃc δὴ καὶ μνηcτῆραc ἀνείλετο νηλέι θυμῶι
Πηνελόπηc ἔμφρων κουριδίηc ἀλόχου,
ἥ μιν δήθ' ὑπέμεινε φίλωι παρὰ παιδὶ μένουcα,

---

**1109** an bis οἳ? **1109—1114** cf. 57ss (53) **1111**s cf. 665s **1112** cf. 189s **1114**ᵃ·ᵇ ∼ 619s **1115** cf. 155s μοι ὀνείδιcαc Emp. τὸ μέν μοι Friedl.: τεμεμοι A τὰ μέντοι Vat. **1116** λ 46 al. ἐπεύξαcθαι δὲ θεοῖcιν ad exitum cf. 358 944 **1117** ∼ 1365 cf. Wil.SS. 120 **1117**s cf. 1061s 683ss 699ss 523s sententiam inlustrat praeter ceteros Hor. carm. 3,16 cf. F. Hübner (l. c. ad 525) p. 248. 256 **1119** ἥβ. μ. ἱκέcθαι δ 668 sim. al. Λητοΐδηc primum Hom. hymn. Merc. 158 **1120** eodem cadit 1346 **1121** δικηι A βίον plerique Hes. op. 115 κακ. ἐκτ. ἁπ. **1121**s cf. Hübner l. c. p. 260 **1122** ψ 47 θυμὸν ἰάνθηc **1124** μ 21 ὑπήλθετε δῶμ' Ἀίδαο μετὰ cf. Sitz. ε 438 κύματοc ἐξαναδύc (Ὀδ.) Asius 1, 4 βορβόρου ἐξαναδύc **1125** ἀνείλατο A ι 272 al. ν. θ. **1126** A 113s Κλυταιμήcτρηc . . . κ. ἀλ. εύφρων A recepit H.-W. sim. cadunt Callin. 1, 7 Tyrt. 6, 6 A. P. 5, 515, 4

ὄφρα τε γῆς ἐπέβη δαιδαλέου τε μυχοῦ.

Ἐμπίομαι πενίης θυμοφθόρου οὐ μελεδαίνων
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς·
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένωι.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόν⟨δ'⟩ ἐκπρολιπόντες ἔβαν·
ὤιχετο μὲν Πίστις, μεγάλη θεός, ὤιχετο δ' ἀνδρῶν
Σωφροσύνη, Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον·
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐσεβίας.

---

**1129—1132** Stob. 4, 50 (π. γήρως), 43 p. 1039 H. [SMA] Θεόγνιδος· **1135** Stob. 4, 46 (π. ἐλπίδος), 12 p. 999 H. [SMA] Θεόγνιδος·

---

**1128** λ 166s 481s οὐδέ πω ἁμῆς γῆς ἐπέβην ait Odysseus δειδαλεους A δειμαλέους rel. H.-W. μυχούς 𝔈 (H.-W.) δαιδαλέου τε μυχοῦ Wassenbergh ad η 87ss **1129** ἐλπίομαι Vat. εἰ πίομαι det. οὔτε γε μὴν Stob. εὖ πίομαι Ahr. **155** πενίην θυμ. Hes. op. 717 οὐλομένην πενίην θυμοφθόρον οὐ om. Stob. 𝔈 μελεδαίνω Vat. det. Stob. A **1129** ss Mimnermo dedit B. cf. Mimn. 2, 15. 7, 2 **1130** οἵ με: οἶμαι Stob. M **1131** s cf. 527s 1069s Hor. carm. 2, 11, 5ss **1132** Mimn. 1, 10 ἀργ. γ. Theogn. 728 et Sol. 14, 10 κακὸν γῆρας ἐπερχόμενον **1133** cf. Hi. Jb. 1888 p. 154 Sitz. Jb. 1894 p. 138 παθοῦσι M. Schmidt alii alia καταπ. coniunctiu. **1135** ἀνθρώποις Stob. μούνη Stob. SM **1135** ss cf. Hes. op. 96ss 219ss Eur. fr. 408. 826 N.[2] Babr. 58 RE V 2454 ss **1136** Οὔλυμπον 𝔈 em. Cam. Br. ad A 221 Οὔλυμπόνδε βεβήκει θ 515 ἐκπρ. Aesch. Pers. 18 ἔρκος προλιπόντες ἔβαν **1139** Ὅρκοι Wil.[1] ex Hesiod. δίκαιοι: δίκαι τε Sitz. Jb. 1894 p. 139 **1140** cf. 748 **1141** ἔφθιτο 𝔈 em. Schae. **1141** s ι 215 οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας **1142** εὐνομίας Herw.

ἀλλ᾽ ὄφρα τις ζώει καὶ ὁρᾶι φῶς ἠελίοιο,
  εὐϲεβέων περὶ θεοὺς Ἐλπίδα προϲμενέτω·
εὐχέϲθω δὲ θεοῖϲι καὶ ἀγλαὰ μηρία καίων
  Ἐλπίδι τε πρώτηι καὶ πυμάτηι θυέτω.
φραζέϲθω δ᾽ ἀδίκων ἀνδρῶν ϲκολιὸν λόγον αἰεί,
  οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ᾽ ἀλλοτρίοιϲ κτεάνοιϲ᾽ ἐπέχουϲι νόημα
  αἰϲχρὰ κακοῖϲ᾽ ἔργοιϲ ϲύμβολα θηκάμενοι.

Μήποτε τὸν παρεόντα μεθεὶϲ φίλον ἄλλον ἐρεύνα
  δειλῶν ἀνθρώπων ῥήμαϲι πειθόμενοϲ.

Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνέων
  ζώειν ἀβλαβέωϲ μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ᾽ εὔχομαι, ἀλλά μοι εἴη
  ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

Πλοῦτοϲ καὶ ϲοφίη θνητοῖϲ᾽ ἀμαχώτατον αἰεί·

---

**1151**s A. P. 10, 40 (‘ἄδηλον’) Anecd. Paris. ed. Cram. 4, 374, 13 **1153—1156** Stob. 4, 39 (π. εὐδαιμονίαϲ), 14 p. 905 H. [SMA] Θεόγνιδοϲ· **1155**s A. P. 10, 113 (‘ἀδέϲποτον’) Basil. Magn. libr. gentil. 8, 183. cf. Schol. Lucian. apol. 13 p. 238 R. (Θεόγνιδα) Georgid. in Anecd. graec. ed. Boiss. 1 p. 67 Orac. Sibyll. 2, 109s Geffck. **1157—1160** Stob. 4, 31 (π. πλούτου), 26 p. 740 H. [SMA] Θεόγνιδοϲ·

---

**1143** ∼ C 61 φῶϲ A φάοϲ rel. **1143**ss sui iuris esse maluit Lav. **1144** Plat. symp. 193ᵃ εὐϲεβεῖν περὶ θ. **1145** εὐχόμενόϲ τε ci. Br. B. Hes. op. 337 cadit in ἀγλ. μηρ. κ. γ 9 θεῶι δ᾽ ἐπὶ μηρία καῖον καὶ 𝕮 κατ᾽ Schae. **1146** Hom. hymn. 29, 5s πρώτηι πυμάτηι τε Ἱϲτίηι ... ϲπένδον μελιηδέα οἶνον **1148** cf. 734 **1151**s = 1238ᵃ·ᵇ cf. 1313 **1151** παρεὶϲ Anecd. **1152** ∼ 1262 Simon. 92, 2 ῥ. πειθόμενοι **1153—1156** alterum distichon alteri obloquitur **1153** πλουτεῦντι Br. μεριμνῶν det. Stob. 𝕮 766 νόϲφι μεριμνάων **1155** ἔραμαι: ἐθέλω Anth. οὐδ᾽: οὐκ Anth. οὔτ᾽ Basil. **1155**s cf. 1191s **1156** cf. Callim. epigr. 26, 1s ἀπὸ: ἐκ Anth. ἔχοντα Anth. **1157** ϲοφίη: πενίη Stob. A **1157**s om. Theogn. 𝕮 inseruit Turn. ex Stob. **1157**ss contulit H.-W. ad syntaxin 1267ss

οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέcαιc·
ὣc δ᾽ αὔτωc cοφίην ὁ cοφώτατοc οὐκ ἀποφεύγει,
1160 ἀλλ᾽ ἔραται, θυμὸν δ᾽ οὐ δύναται τελέcαι.

1160 a Ὦ νέοι, οἳ νῦν ἄνδρεc, ἐμοί γε μὲν οὔ τιc ἀνάγκη
b ταῦθ᾽ ἔρδειν· τῶν μοι πρόcθε χάριν τίθεcο.

Οὐδένα θηcαυρὸν καταθήcειν παιcὶν ἄμεινον·
αἰτοῦcιν δ᾽ ἀγαθοῖc᾽ ἀνδράcι, Κύρνε, δίδου.

1162 a Οὐδεὶc γὰρ πάντ᾽ ἐcτὶ πανόλβιοc· ἀλλ᾽ ὁ μὲν ἐcθλόc
τολμᾶι ἔχων τὸ κακὸν κοὐκ ἐπίδηλον ὁμῶc,
δειλὸc δ᾽ οὔτ᾽ ἀγαθοῖcιν ἐπίcταται οὔτε κακοῖcιν
θυμὸν ὁμῶc μίcγειν. ἀθανάτων τε δόcειc
παντοῖαι θνητοῖcιν ἐπέρχοντ᾽· ἀλλ᾽ ἐπιτολμᾶν
f χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦcιν, ἔχειν.

1163 Ὀφθαλμοὶ καὶ γλῶccα καὶ οὔατα καὶ νόοc ἀνδρῶν
ἐν μέccωι cτηθέων ἐν cυνετοῖc φύεται.

1164 a Τοιοῦτόc τοι ἀνὴρ ἔcτω φίλοc, ὃc τὸν ἑταῖρον
γινώcκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ καcιγνήτου. cὺ δέ μοι, φίλε, ταῦτ᾽ ἐνὶ θυμῶι
d φράζεο καί ποτέ μου μνήcεαι ἐξοπίcω.

e Οὔτιν᾽ ὁμοῖον ἐμοὶ δύναμαι διζήμενοc εὑρεῖν
πιcτὸν ἑταῖρον, ὅτωι μή τιc ἔνεcτι δόλοc·
ἐc βάcανον δ᾽ ἐλθὼν παρατριβόμενόc τε μολύβδωι
h χρυcὸc ὑπερτερίηc ἄμμιν ἔνεcτι λόγοc.

---

**1163 s** Stob. 3, **3** (π. φρονήcεωc), 19 p. 198 H. [MA] Θεόγνιδοc·

---

**1158** cf. 596 Sol. 1, 71 ὑπερκορ. Polluc. 7, 23 **1160** τελέcαι: κορέcαι Stob. **1160a. b** ∼ 1095 s **1160b** τῶν relat.? Kal. **1161** παιcὶν καταθήcειν A **1161 s** ∼ 409 s, ubi 410 αἰδοῦc ἤ τ᾽ ... ἕπεται **1162a–f** ∼ 441—446 **1162d** 444 θυμὸν ἔχων μίμνειν **1163** ἀνδρὸc Stob. **1164** ἐν c.: εὐξύνετοc Stob. 𝔈, unde εὐξυνέτοιc Hart. H.-W. **1164a–d** = 97—100 **1164d** μευ Hi.-Cr. **1164e–h** ∼ 415—418 **1164g** = 1105 τ᾽ ἐλθὼν A μολίβδωι 𝔈 H.-W.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

Τοῖϲ᾽ ἀγαθοῖϲ ϲύμμιϲγε, κακοῖϲι δὲ μήποθ᾽ ὁμάρτει,
εὖτ᾽ ἂν ὁδοῦ ϲτέλληι τέρματ᾽ ἐπ᾽ ἐμπορίην.

Τῶν ἀγαθῶν ἐϲθλὴ μὲν ἀπόκριϲιϲ, ἐϲθλὰ δὲ ἔργα·
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουϲιν ἔπη.

Ἐκ καχεταιρείηϲ κακὰ γίνεται· εὖ δὲ καὶ αὐτόϲ
γνώϲηι, ἐπεὶ μεγάλουϲ ἤλιτεϲ ἀθανάτουϲ.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖϲι διδοῦϲιν ἄριϲτον
ἀνθρώποιϲ· γνώμη πείρατα παντὸϲ ἔχει.
ὦ μάκαρ, ὅϲτιϲ δή μιν ἔχει φρεϲίν· ἦ πολὺ κρείϲϲων
ὕβριοϲ οὐλομένηϲ λευγαλέου τε κόρου
ἐϲτι· κακὸν δὲ βροτοῖϲι κόροϲ . . . τῶν οὔτι κάκιον·
πᾶϲα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότηϲ.

Εἴ κ᾽ εἴηϲ ἔργων αἰϲχρῶν ἀπαθὴϲ καὶ ἀεργόϲ,
Κύρνε, μεγίϲτην κεν πεῖραν ἔχοιϲ ἀρετῆϲ.

1178 a Τολμᾶν χρὴ χαλεποῖϲιν ἐν ἄλγεϲιν ἦτορ ἔχοντα,
b πρὸϲ δὲ θεῶν αἰτεῖν ἔκλυϲιν ἀθανάτων.

Κύρνε, θεοὺϲ αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα

---

**1179 s** Orio anthol. 3, 5 p. 45 Schn.

---

**1165** ϲυμμιγε A **1166** Hes. op. 646 εὖτ᾽ ἂν ἐπ᾽ ἐμπορίην τρέψαϲ ἀεϲίφρονα θυμόν ὁδουϲτελεῆι A em. B. **1169** καχ᾽ ετεριηϲ A, unde καχεταιρίηϲ H.-W. **1170** Ps.-Hes. scut. 79 s μέγ᾽ ἀθανάτουϲ μάκαραϲ . . . ἤλιτεν Ἀμφιτρύων cf. I 375 **1171** cf. 591 ἀρίϲτην 𝔈 em. Bekk. **1171 s** cf. 895 s **1172** ἄνθρωποϲ boni em. B. cf. Sitz. Jb. 1894 p. 139 **1173** Γ 182 ὦ μ. κρείϲϲων 𝔈 κρέϲϲων B. **1174** cf. Sol. 5, 9 τίκτει γὰρ κόροϲ ὕβριν **1175** lacunam statuit Cr. an τῶν gen. poss.? Kal. ἔϲτι κακὸν δὲ βρ. κ. parenthesin haud inepte interpretatus est H.-W. eodem cadit 811 **1176** τούτου Cam. Ahr. **1177** εἴ κ᾽ = εἴθε? cf. I 141 s Aesch. Sept. 411 αἰϲχρῶν γὰρ ἀργόϲ **1178** μεγίϲτηϲ . . . πείρατ᾽ ci. Hecker. sed cf. 571 Plat. Lach. 189b ἔδωκαϲ ϲαυτοῦ πεῖραν ἀρετῆϲ **1178a. b** ∼ 555 s **1179** αἰδεῦ Cr. ρ 188 τὸν αἰδέομαι καὶ δείδια δείδιθι Hom.

εἴργει μήθ᾽ ἔρδειν μήτε λέγειν ἀσεβῆ.
δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι,
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

Οὐδένα, Κύρν᾽, αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ᾽ ἐφορῶς᾽, ὧι μὴ μῶμος ἐπικρέμαται.

1184a Ἀστῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον ὄντιν᾽ ἔχουσιν·
b οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.

Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ᾽ ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ᾽ ἐπὶ τέρμα βάλοι.
οὐδ᾽ ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπηι,
θνητὸς ἀνὴρ δώροις᾽ ἱλάμενος προφύγοι.

Οὐκ ἔραμαι κλισμῶι βασιληίωι ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ᾽ ἀγαθόν.
ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι,
τῶι ξύλον οὐ σκληρὸν γίνεται, οὐ μαλακόν.

Μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτόν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

---

**1180** μήθ᾽ ἔρδειν: μήτε παθεῖν Orio **1181** τυρραννον A Α 231 δημοβόρος βασιλεύς ad κατακλ. cf. Sol. 4, 3 **1181 s** aliter iudicat 823 s **1182** cf. 170 cum adn. **1183** β 181 αὐγὰς ἠελίοιο κ 138 et Hes. theog. 958 φαεσιμβρότου ἠ. **1184** cf. H.-W. ad l. **1184$^{a\cdot b}$** = 367 s **1185** δ᾽ B. τ᾽ 𝕮 **1185 s** cf. 504 ss **1187** = 727 (οὐδ᾽ ἂν) **1187 s** cf. Sol. 22, 9 s **1189** δυσφρ. Hes. theog. 528 Simon. ap. Athen. 10, 447$^{a}$ (fr. 73) πέμπει Vat. det. πέμποι ci. B. (H.-W.) **1189 s** quales fugit Prometheus Hes. theog. 528 s **1190** cf. 1033 s cum adn. ⟨ἱλά⟩μενος B. Hi. βουλόμενος fere 𝕮 (-λομαι O) def. Kal. προφύγηι A em. Cam. **1191 s** cf. 1155 s **1194** τὸ ξ. ἢ σκλ. γ. ἢ μ. 𝕮 em. Herm. τῶι ξ. ἢ σκλ. γ. ἢ μαλακόν; Kal. cf. Hi. Jb. 1888 p. 154 ξυνόν γ᾽ εἰ σκληρὸν γ. ἢ μ. J. L. Revue de philol. 1901 p. 49 ad Parmen. 3, 1 D. uersum seclusit H.-W. **1195** ἐπίορκος A probat Kal. Κ 332 ἐπίορκον ἐπώμοσε ἀνυστὸν ci. Emp. ad Eur. Heracl. 961 al. **1196** Α 686 χρεῖος ὀφείλετο

Ὄρνιθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκους᾽, ἥ τε βροτοῖς᾽ ἄγγελος ἦλθ᾽ ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐ δέ μοι ἡμίονοι κύφων᾽ ἕλκουσιν ἀρότρου
τῆς ἄλλης †μνηστῆς εἵνεκα ναυτιλίης.

Οὐκ εἶμ᾽, οὐδ᾽ ὑπ᾽ ἐμοῦ κεκλήσεται οὐδ᾽ ἐπὶ τύμβωι
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ᾽ ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ᾽ ἀνιῷτο
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

Οὔτε σε κωμάζειν ἀπερύκομεν οὔτε καλοῦμεν·
ἀργαλέος παρεών, καὶ φίλος, εὖτ᾽ ἂν ἀπῆις.

Αἴθων μὲν γένος εἰμί, πόλιν δ᾽ εὐτείχεα Θήβην
οἰκῶ πατρώιας γῆς ἀπερυκόμενος.

Μή μ᾽ ἀφελῶς παίζουσα φίλους δένναζε τοκῆας,
Ἀργυρί· σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ᾽ ἄλλα μέν ἐστι, γύναι, κακὰ πόλλ᾽, ἐπεὶ ἐκ γῆς

---

**1197** P 89 ὀξὺ βοήσας **1197** ss cf. Alc. 98 Hes. op. 448 ss **1198** B 786 ἄ. ἦλθε ... Ἶρις sim. al. **1198** s Hes. op. 616 s ἀρότου μεμνημένος εἶναι ὡραίου **1199** at N 282 ἐν ... κραδίη ... στέρνοισι πατάσσει Pind. fr. 123 μέλαινα καρδία cf. A 103 φρένες ἀμφιμέλαιναι **1200** εὐανθέας Hi.-Cr. **1201** ἡνίοχοι A κυφὸν ... ἄροτρον boni retinet H.-W. **1202** τῆς μάλα μισητῆς Hertzberg Cr. sed ἄλλης 'peregrinae' uel 'malae' optime de nauigatione, i. de poetae exilio τῆς ἄλλως (i. 'temere') μν. Lav. μυσαρῆς ci. Kal. alii alia tentauerunt Hes. op. 618 εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ **1203** ss reminiscere epitaphii Enniani **1203** κεκλαύσεται ci. Br. οὐδεὶς οὔθ᾽ ὑπ᾽ ἐ. κεκλαύσεται ci. Hi. Jb. 1888 p. 155 **1203. 1205** ἐμεῦ Cr. **1205** τεθνειότος boni **1206** δάκρυα θερμὰ βάλοι ci. Passow probat H.-W. δ 114 δάκρυ δ᾽ ἀπὸ βλεφάρων χαμάδις βάλε P 437 s δάκρυα ... θερμὰ κατὰ βλεφάρων ... ῥέε **1207** καλεῦμεν Hi.-Cr. **1208** ἁρπαλέος ci. B. γὰρ ἐὼν 𝔈 em. Cam. cf. Hi. Jb. 1886 p. 64 **1209** Ἄιων Wil.[1] Λήθων ci. Kal. ex 1216 O 57 πόλιν εὐτείχεα **1210** οἰκέω πατρώιης Hi.-Cr. **1211** ad ἀφ. Solonem ap. Polluc. 1, 29 contulit Wil.[1] παίζους A **1212** σοὶ det.: συ A Vat. δ. ἦ. Hom.

φεύγομεν, ἀργαλέη δ᾽ οὐκ ἔπι δουλοςύνη,
οὐδ᾽ ἡμᾶς περνᾶςι· πόλις γε μέν ἐςτι καὶ ἡμῖν
καλὴ Ληθαίωι κεκλιμένη πεδίωι.

Μήποτε πὰρ κλαίοντα καθεζόμενοι γελάςωμεν
τοῖς᾽ αὑτῶν ἀγαθοῖς, Κύρν᾽, ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυςμενεῖ ἐξαπατῆςαι,
Κύρνε· φίλον δὲ φίλωι ῥάιδιον ἐξαπατᾶν.

---

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖςι βροτοῖςιν
πταίςματα τῆς γνώμης, Κύρνε, ταραςςομένης.

Οὐδέν, Κύρν᾽, ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει θυμῶι δειλὰ χαριζομένη.

Οὐδέν, Κύρν᾽, ἀγαθῆς γλυκερώτερόν ἐςτι γυναικός.
1226 μάρτυς ἐγώ, cὺ δ᾽ ἐμοὶ γίνου ἀληθοςύνης.

1229 Ἤδη γάρ με κέκληκε θαλάςςιος οἴκαδε νεκρός
τεθνηκὼς ζωιῶι φθεγγόμενος ςτόματι.

---

**1221—1226** seruauit Stob. 3, 8 (π. δειλίας), 9 p. 342 H. [SMA] Θεόγνιδος· [1221. 2] 3, 20 (π. ὀργῆς), 1 p. 539 H. [SMA] Θεόγνιδος· [1223. 4] 4, 22 (π. γάμου), 5 p. 495 H. [SMA] Θεόγνιδος· [1225. 6] **1229 s** debentur Athen. 10, 457$^{a. b}$ τοιοῦτόν ἐςτι καὶ τὸ Θεόγνιδος τοῦ ποιητοῦ· [1229 s] ςημαίνει γὰρ κόχλον.

---

**1215** οὐδ᾽ Bekk. οὔθ᾽ 𝕮 ἡμέας Hi.-Cr. **1216** ποταμῶι ci. Br. sed cf. Kern Inscr. Magnes. testim. VIII nr. XV **1217 s** aliter sensit 1041 s **1218** αὐτῶν 𝕮 (H.-W.) **1219** δυςμενῆ 𝕮 em. B. dubitat Friedl. cf. Hi. Jb. 1888 p. 156 **1219 s** cf. 1091 ss **1220** ῥήιδιον B. **1221** λόγος: δέος ci. B. φόβος Heimsoeth **1226** δέ μοι Stob. MA δέ μου S expl. Br. γίνευ Cr. **1227 s** = Mimn. 8 **1229 s** cf. Cleobul. 3 **1230** sim. cadunt Simm. A. P. 7, 193 adesp. A. P. 5, 135. 7, 12 al. (Kaegi p. 80)

[fragm. sedis incertae legisti u. 25 adnot.]

## ΕΛΕΓΕΙΩΝ Β

Cχέτλι' Ἔρωc, μανίαι cε τιθηνήcαντο λαβοῦcαι·
ἐκ cέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολιc,
ὤλετο δ' Αἰγείδηc Θηcεὺc μέγαc, ὤλετο δ' Αἴαc
ἐcθλὸc Ὀιλιάδηc cῇcιν ἀταcθαλίαιc.

1235 Ὦ παῖ, ἄκουcον ἐμεῦ δαμάcαc φρέναc· οὔ τοι ἀπειθῆ
μῦθον ἐρῶ τῆι cῆι καρδίηι οὐδ' ἄχαριν.
ἀλλὰ τλῆθι νόωι cυνιεῖν ἔποc· οὔ τοι ἀνάγκη
τοῦθ' ἔρδειν, ὅ τί coι μὴ καταθύμιον ἦι.

1238 a Μήποτε τὸν παρεόντα μεθεὶc φίλον ἄλλον ἐρεύνα
b δειλῶν ἀνθρώπων ῥήμαcι πειθόμενοc·
1239 πολλάκι τοι παρ' ἐμοὶ κατὰ coῦ λέξουcι μάταια
1240 καὶ παρὰ coὶ κατ' ἐμοῦ· τῶν δὲ cὺ μὴ ξυνίει.

Χαιρήcειc τῆι πρόcθε παροιχομένηι φιλότητι,
τῆc γὰρ ἐπερχομένηc οὐκέτ' ἔcηι ταμίηc.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοιcιν ὁμίλει
ἦθοc ἔχων δόλιον, πίcτιοc ἀντίτυπον.

1245 Οὔποθ' ὕδωρ καὶ πῦρ cυμμείξεται· οὐδέ ποθ' ἡμεῖc
πιcτοὶ ἐπ' ἀλλήλοιc καὶ φίλοι ἐccόμεθα.

Φρόντιcον ἔχθοc ἐμὸν καὶ ὑπέρβαcιν, ἴcθι δὲ θυμῶι,
ὥc c' ἐφ' ἁμαρτωλῆι τείcομαι ὡc δύναμαι.

---

**1231** ss ∼ 1—18 et **1235** ss ∼ 19—38 contulit Jac., qui H.-W. secutus Apoll. Rhod. 4, 445 ss (cχέτλιοc Ἔρωc) huc spectasse censet **1231** Μανίαι Jac. Soph. Oed. Col. 1050 s Πότνιαι cεμνὰ τιθηνοῦνται τέλη θνατοῖcιν cont. Kern **1233** Α 265 Θ. Αἰγ. **1233** s cf. α 7 **1236** κραδίηι A em. Bekk. **1237** cυνιδειν A em. Lachm. **1237** s cf. 1095 s **1238** = 1086 χ 392 ἔποc εἴπωμι τό μοι καταθύμιόν ἐcτιν. cf. 1283 **1238**a. b = 1151 s **1240** ξυνιε A (H.-W.) **1242** τηc δε παρερχομενηc A (H.-W.) em. B. sim. cadit 504 cf. Alc. 19 **1243** ∼ 597 ὁμιλεῖν ci. Bekk. **1244** πιcτεωc A πίcτεοc Bekk. H.-W. **1246** επ A ἔτ' Bekk. H.-W. **1247** εχθροc A em. Bekk. cf. 1015

Παῖ, cù μὲν αὖθ᾽, ὡc ἵπποc, ἐπεὶ κριθῶν ἐκορέcθηc,
αὖθιc ἐπὶ cταθμοὺc ἤλυθεc ἡμετέρουc
ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλόν
κρήνην τε ψυχρὴν ἄλcεά τε cκιερά.

Ὄλβιοc, ὧι παῖδέc τε φίλοι καὶ μώνυχεc ἵπποι
θηρευταί τε κύνεc καὶ ξένοι ἀλλοδαποί.

Ὅcτιc μὴ παῖδάc τε φιλεῖ καὶ μώνυχαc ἵππουc
καὶ κύναc, οὔποτέ οἱ θυμὸc ἐν εὐφροcύνηι.

Ὦ παῖ, κιλλούροιcι πολυπλάγκτοιcιν ὁμοῖοc,
ὀργήν, ἄλλοτε τοῖc᾽, ἄλλοτε τοῖcι φιλεῖ.

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυc καλόc, ἀλλ᾽ ἐπίκειται
καρτερὸc ἀγνώμων cῆι κεφαλῆι cτέφανοc·
ἰκτίνου γὰρ ἔχειc ἀγχιcτρόφου ἐν φρεcὶν ἦθοc
ἄλλων ἀνθρώπων ῥήμαcι πειθόμενοc.

Ὦ παῖ, ὃc εὖ ἔρδοντι κακὴν ἀπέδωκαc ἀμοιβήν,
οὐ δέ τιc ἀντ᾽ ἀγαθῶν ἔcτι χάριc παρὰ coί·
οὐδέν πώ μ᾽ ὤνηcαc· ἐγὼ δὲ cὲ πολλάκιc ἤδη
εὖ ἔρδων αἰδοῦc οὐδεμιῆc ἔτυχον.

Παῖc τε καὶ ἵπποc ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵπποc
ἡνίοχον κλαίει κείμενον ἐν κονίηι,

---

**1249** αυτωc A (H.-W.) αὖθ᾽ ὡc Emp. **1249** ss cf. 257 ss 1267 ss Z 506 Anacr. 4. 88 **1252** ἄλοεα A **1253** s = Sol. 13 **1255** s cf. 1253 s **1256** κ 464 s οὐδέ ποθ᾽ ὑμῖν θυμὸc ἐν εὐφροcύνηι cf. 776 **1257** κινδύνοιcι A em. Herw. ad Ael. nat. an. 12, 9 ὃc ἰκτίνοιcι Welck. B. Hi. H. W. (hic om. ὃc) ex 1261 ὁμοιοῖ ci. Wil. Hi. **1257** s cf. 213 ss 1071 ss **1258** φιλεῖν A φίλην Herm. Ahr. φίλ᾽ εἶ ci. B.³ φιλέαι B.⁴ πελᾶιc H.-W. **1260** ἀγνοιῶν ci. Kukula perperam **1261** cf. 1302 **1262** ∼ 1152 (ubi δειλῶν) 1238ᵇ **1263** ss cf. 105 108 253 s 368 s Pohl. p. 425, 1 **1263** cf. Eur. Or. 466 s οἷc ἀπέδωκ᾽ ἀμοιβὰc οὐ καλάc **1264** cf. 1340 **1266** cf. 253 **1267** ss ad syntaxin contulit H.-W. 1157 ss, ad rem legas 257 ss 1249 ss **1268** Π 471 κεῖτο . . . ἐν κονίηιcιν P 427 s ἡνιόχοιο ἐν κονίηιcι πεcόντοc

ἀλλὰ τὸν ὕςτερον ἄνδρα φέρει κριθαῖςι κορεςθείς·
ὣς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοςύνηις' ἀπὸ μὲν νόον ὤλεςας ἐςθλόν,
αἰςχύνη δὲ φίλοις' ἡμετέροις' ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν
ἦκά γ' ἐνωρμίςθην νυκτὸς ἐπειγόμενος.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεςιν εἰαρινοῖς θάλλει ἀεξομένη.
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆςον,
εἶςιν ἐπ' ἀνθρώπους ςπέρμα φέρων κατὰ γῆς.

1278 a Ὅςτις ςοι βούλευςεν ἐμεῦ πέρι, καί ς' ἐκέλευςεν
b οἴχεςθαι προλιπόνθ' ἡμετέρην φιλίην.

c Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθώς
d ποςςὶ καταιμάρψας αἵματος οὐκ ἔπιον.

Οὐκ ἐθέλω ςε κακῶς ἔρδειν, οὐδ' εἴ μοι ἄμεινον
πρὸς θεῶν ἀθανάτων ἔςςεται, ὦ καλὲ παῖ.
οὐ γὰρ ἁμαρτωλαῖςιν ἐπὶ ςμικραῖςι κάθημαι·
τῶν δὲ καλῶν παίδων οὔτις ἔτ' οὐκ ἀδικῶν.

Ὦ παῖ, μή μ' ἀδίκει — ἔτι ςοι καταθύμιος εἶναι
βούλομαι — εὐφροςύνηι τοῦτο ςυνεὶς ἀγαθῆι·
⟨οὐ γάρ τοί με δόλωι⟩ παρελεύςεαι οὐδ' ἀπατήςεις·
νικήςας γὰρ ἔχεις τὸ πλέον ἐξοπίςω.

---

**1269** s cf. 1249 **1270** eodem cadit 1368 **1271** cf. 1301 μὲν Bekk. μευ A **1273** θελλῶν A **1275** ss cf. Alcm. 35 Hor. carm. 1, 19, 9 ss **1276** B 89 ἀ. εἰαρινοῖςιν (Cypr. 2 cf. Rhiani 3, 4) **$1278^{a \cdot b}$** = 1101 s **$1278^{c}$** ὑπεξαφοιο A **$1278^{c \cdot d}$** = 949 s **$1278^{d}$** καταιμάρψας A e corr. cf. 950 **1281** cf. 325 ss κάθημαι rem iudicialem sapere uidit Schnw. **1282** ουτοcε τουτ' αδικων A em. et expl. Welck. οὐ τίςις οὐδ' ἀδίκων Boiss. Hi. H.-W. **1283** καθύμιος A cf. 1238 cum adn. **1285** ⟨ ⟩ A man. rec. απατηcηc A (compendio scr.) em. Bekk. **1285** s ἀπάτηιςι νικήςας γ' ἂν ἔχοις Sitz. Hart. (ποτ' ἔχεις). sed cf. A 132 οὐ παρελεύςεαι οὐδέ με πείςεις

ἀλλά c᾽ ἐγὼ τρώcω φεύγοντά με, ὥc ποτέ φαcιν
Ἰαcίου κούρην, παρθένον Ἰαcίην,
ὡραίην περ ἐοῦcαν ἀναινομένην γάμον ἀνδρῶν
φεύγειν· ζωcαμένη δ᾽ ἔργ᾽ ἀτέλεcτα τέλει
πατρὸc νοcφιcθεῖcα δόμων ξανθὴ Ἀταλάντη·
ᾤχετο δ᾽ ὑψηλὰc εἰc κορυφὰc ὀρέων
φεύγουc᾽ ἱμερόεντα γάμον, χρυcῆc Ἀφροδίτηc
δῶρα· τέλοc δ᾽ ἔγνω καὶ μάλ᾽ ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖcιν ἐν ἄλγεcι θυμὸν ὀρίνηιc,
μηδέ με cὴ φιλότηc δώματα Περcεφόνηc
οἴχηται προφέρουcα· θεῶν δ᾽ ἐποπίζεο μῆνιν
βάξιν τ᾽ ἀνθρώπων ἤπια νωcάμενοc.

Ὦ παῖ, μέχρι τίνοc με προφεύξεαι; ὥc cε διώκων
δίζημ᾽· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
cῆc ὀργῆc. cὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμόν
φεύγειc ἰκτίνου cχέτλιον ἦθοc ἔχων.
ἀλλ᾽ ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν· οὐκέτι δηρόν
ἕξειc Κυπρογενοῦc δῶρον ἰοcτεφάνου.

---

**1288** Ps.-Arist. pepl. 44 κούρηc Ἰαcίοιο **1289** s contulit Be. Ar. Lysistr. 785 **1289** ss cf. Hes. fr. 21 Rz. ποδώκηc δῖ᾽ Ἀταλάντη . . . ἀναίνετο φῦλον ὁμοῖ[ον ἀνδρῶν βουλομένη φεύγε]ιν γάμον ἀλφηcτάων **1290** ζωcαμένην A em. Bekk. -cτ᾽ ἐτέλει Blaydes **1292** Π 297 ὑψηλῆc κορυφῆc ὄρεοc Μ 282 ὑψηλῶν ὀρέων κορυφάc **1293** γ. ἱ. Hom. hymn. Ven. 142 cf. Ε 429 ἱμερόεντα . . . ἔργα γάμοιο eodem cadit Mimn. 1, 1 **1293** s Γ 64 δῶρ᾽ ἐρατὰ . . . χρυcῆc Ἀφροδίτηc **1295** ∼ Ω 568 cf. φ 87 ὀριναιc A em. Bekk. Herm. **1296** eodem cadit 974 **1297** υ 63 s θύελλα οἴχοιτο προφέρουcα κατ᾽ ἠερόεντα κέλευθα cf. Ζ 346 Hom. hymn. Ven. 290 θεῶν δ᾽ ἐπ. μ. ε 146 Διὸc δ᾽ ἐπ. μ. **1298** β. uox Mimnermi v. Callim. fr. 345 Theocr. 25, 263 **1299** ss cf. Anacr. 4 Hor. carm. 4, 10 et Kaegi p. 26 ss 30 Erw. Pfeifer Virgils Bukolika (1933) p. 24 **1301** cηcοιγη A restituit Herm. cf. 1271 λ 562 ἀγ. θ. **1302** φευγοιc A em. Bekk. cf. 1261 **1303** α 309 ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον A. P. 5, 263, 9 ἀλλὰ κατοικτίραcα δίδου χάριν οὐκέτι δηρόν Hom. pass. **1303** s cf. 1329 1331 s **1304** = 1332 cf. 1383 Hom. hymn. 6, 18 ἰοcτεφάνου Κυ-

Θυμῶι γνούϲ, ὅτι παιδείαϲ πολυηράτου ἄνθοϲ
  ὠκύτερον ϲταδίου, τοῦτο ϲυνεὶϲ χάλαϲον
δεϲμοῦ, μή ποτε καὶ ϲὺ βιήϲεαι, ὄβριμε παίδων,
  Κυπρογενοῦϲ δ' ἔργων ἀντιάϲειϲ χαλεπῶν,
ὥϲπερ ἐγὼ νῦν ὧδ' ἐπὶ ϲοί. ϲὺ δὲ ταῦτα φύλαξαι,
  μὴ δέ ϲε νικήϲηι παῖδ' ἀιδῆ κακότηϲ.

Οὐκ ἔλαθεϲ κλέψαϲ, ὦ παῖ· καὶ γάρ ϲε διῶμμαι·
  τούτοιϲ', οἷϲπερ νῦν ἄρθμιοϲ ἠδὲ φίλοϲ
ἔπλευ — ἐμὴν δὲ μεθῆκαϲ ἀτίμητον φιλότητα —
  οὐ μὲν δὴ τούτοιϲ γ' ἦϲθα φίλοϲ πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων ϲ' ἐδόκουν θήϲεϲθαι ἑταῖρον
  πιϲτόν· καὶ δὴ νῦν ἄλλον ἔχοιϲθα φίλον.
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· ϲὲ δὲ μή τιϲ ἁπάντων
  ἀνθρώπων ἐϲορῶν παιδοφιλεῖν ἐθέλοι.
1318 a ὤι μοι ἐγὼ δειλόϲ· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖϲ,
b   τοῖϲι φίλοιϲ δὲ πόνοϲ δεινὰ παθὼν γενόμην.

Ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεϲϲαν
  Κύπριϲ, ϲὸν δ' εἶδοϲ πᾶϲι νέοιϲι μέλει,
τῶνδ' ἐπάκουϲον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῶι,
  γνοὺϲ ἔροϲ ὡϲ χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.

Κυπρογένη, παῦϲόν με πόνων, ϲκέδαϲον δὲ μερίμναϲ

---

θερείηϲ Sol. 7, 4 Κύπριϲ ἰοϲτ. Theogn. 250 Μουϲάων δῶρα ἰοϲτεφάνων 1305 cf. 1348 ο 366 ἥβην πολυήρατον (Hom. hymn. Ven. 225) 1305 ss cf. 985 s A. P. 12, 29, 1 s. 30. 31. 35. 39 (Kaegi p. 20 ss) 1309 οἵ δ' A em. Bekk. οἶδ' B. 1310 παιδαΐδη A π. ἀδαῆ B. π. ὀλοῆ ci. Sitz. 1311 διωμαι A explic. Herm. 1312 φιλοιϲ A em. B. cf. 326 1313 cf. 1151 s 1314 οὐ ... γ' Herm. ϲυ ... τ' A 1314 ss cf. Catull. 72, 1 ss 1315 ϲήϲεϲθαι A em. Seidler 1316 ἔχοιϲθα A 'habeas tibi' Kal. ἔχειϲθα Bekk. cf. Sapph. 18, 2 1317 κειμι A em. Bekk. 1318 παιδαφιλειν A em. Bekk. (ex 1345) παῖδα φιλεῖν Kal. 1318^a. b = 1107 s, ubi cf. adn. 1320 παιϲινεοῖϲι A, sed cf. Hor. carm. 1, 4, 19 s *quo calet iuuentus nunc omnis et mox uirgines tepebunt* 1321 cf. 1366 Ζ 326 χόλον ... ἔνθεο θυμῶι 1323 ex. cf. 883 1323 ss cf. 765 ss

θυμοβόρους, τρέψον δ᾽ αὖθις ἐς εὐφροσύνας·
μερμήρας δ᾽ ἀπόπαυε κακάς, δὸς δ᾽ εὔφρονι θυμῶι
μέτρ᾽ ἥβης τελέσαντ᾽ ἔργματα σωφροσύνης.

Ὦ παῖ, ἕως ἂν ἔχηις λείαν γένυν, οὔποτε σαίνων
παύσομαι, οὐδ᾽ εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδοῦν ἔτι καλόν, ἐμοί τ᾽ οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν· ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἰδέο μ᾽, ὦ παῖ, ⟨τήνδε⟩ διδοὺς χάριν, εἴ ποτε καὶ σύ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου,
χρηίζων καὶ ἐπ᾽ ἄλλον ἐλεύσεαι· ἀλλὰ σὲ δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος ὅστις ἐρῶν γυμνάζεται, οἴκαδε ἐλθών
εὕδειν σὺν καλῶι παιδὶ πανημέριος.

Οὐκέτ᾽ ἐρῶ παιδός, χαλεπὰς δ᾽ ἀπελάκτισ᾽ ἀνίας
μόχθους τ᾽ ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς ἐυστεφάνου Κυθερείης·
σοὶ δ᾽, ὦ παῖ, χάρις ἔστ᾽ οὐδεμία πρὸς ἐμοῦ.

Αἰαῖ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισιν
πᾶσι μάλ᾽ ἐκφαίνει κοὐκ ἐθέλοντος ἐμοῦ.
τλήσομαι οὐ κρύψας ἀεκούσι⟨α⟩ πολλὰ βίαια·

---

**1324** στρέψον A H.-W. em. Mey cf. Sapph. 1, 25 s **1325** cf. 343 cum adn. Hesych. μερμῆραι· φροντίδες. βουλαί. μέριμναι Hes. theog. 55 ἄμπαυμά τε μερμηράων ευφρόσυν A em. Bekk. **1326** ἥβης μέτρον δ 668 al. cf. 1119 **1327** λιαν A λείαν Bekk. **1329** cf. 1303 s διδοντ᾽ A (H.-W.) em. B. διδοῦν᾽ Herm. διδόντι τι H.-W. adn. p. 251 **1330** Hom. λίσσεσθαι γούνων **1331** παῖ, ⟨τήνδε⟩ Herm. Wil. παι⟨δίσκε⟩ ego: παῖ ⟨καλέ⟩ B. παῖ. ⟨παιδὶ⟩ (διδ. χ. εἴ ποτε) Kal. alii plura excidisse iudicant **1331 s** cf. 1303 s **1332** = 1304 cum adn. seclusit H.-W. **1333** 958 χρήιζων . . . ἵκοιο **1335** cf. 1253. 1375 ⟨δ᾽⟩ ἐλθών Bekk. H.-W. **1336** εὕδειν inf. fin.: εὕδει Bekk. H.-W. **1339** ἐυστ. K. θ 288 Hom. hymn. Ven. 6, 176 A. P. 5, 87 **1340** cf. 854 1264 **1341** ἁπαλ. παιδ. Meleag. A. P. 12, 133 ἁπ. Hes. op. 519 Hom. hymn. Ven. 14 **1343** αεκουσι A em. Welck. et Boiss.

οὐ γὰρ ἐπ᾽ αἰκελίωι παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς,
ἁρπάξας δ᾽ ἐς Ὄλυμπον ἀνήγαγε καί μιν ἔθηκεν
δαίμονα παιδείης ἄνθος ἔχοντ᾽ ἐρατόν.
οὕτω μὴ θαύμαζε, Cιμωνίδη, οὕνεκα κἀγώ
ἐξεδάμην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέωι.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
ὄφρα τέλειος ἔηι, Κύρνε, νέοισιν ἔρως·
ἢν μὲν γὰρ τελέσηι, γλυκὺ γίνεται· ἢν δὲ διώκων
μὴ τελέσηι, πάντων τοῦτ᾽ ἀνιηρότατον.

Αἰεὶ παιδοφίλῃσιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.
χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥσπερ κληματίνωι χεῖρα πυρὶ προσάγειν.

Ναῦς πέτρηι προσέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

---

**1344** cf. 1350 **1344** s continuat Kal. **1345** παιδ. 1318 δ᾽ ετι A expl. Bekk. **1345** ss Eueno dedit B., cui adsentitur Jac. cf. 467 ss 667 ss **1346** ἠράσατο Κρ. Heimsoeth B. ex Π 182 Hom. hymn. Ven. 57, obloquitur Croen. conlatis Ditt. Syll.³ 739, 9 IG IV 932, 42 eodem cadit 1120 **1348** cf. 1305 A. P. 12, 151, 1 **1349** ∼ 191 idem C. 469 667 **1350** ἐξεδάην ci. Sauppe Cr. ad Apoll. Rhod. 4, 1565 cf. 1344 **1351** ἀνδρί: μύθωι? Kai. cf. 756. 1207 s et Aesch. Ag. 750 γέρων λόγος (Croen.) **1353** = 301 (cum adn.) cf. Sapph. 137 Ἔρος … γλυκύπικρον ἀμάχανον ὄρπετον Orph. fr. 361 K. A. P. 5, 133 Meleag. A. P. 12, 109. 154. 5, 162 (Kaegi p. 39) **1353** ss cf. 1369 ss Cyrni disticha genuina **1354** τελεος A em. Bekk. **1355** cf. Anacreont. 27 B **1356** cf. 124 cum adn. **1357** s cf. 1023 s **1358** δύσλοφον Ahr. H.-W. φιλοξ. Bacchyl. 3, 16 **1359** s sui iuris esse uoluit H.-W. **1361** eodem cadit 1099. cf. 1379 **1361** s Ar. uesp. 1341 ss contulit Reitz. Ep. u. Sk. p. 83, 2

Οὐδαμά c᾽ οὐδ᾽ ἀπεὼν δηλήcομαι· οὐδέ με πείcει
οὐδεὶc ἀνθρώπων, ὥcτε με μή cε φιλεῖν.

Ὦ παίδων κάλλιcτε καὶ ἱμεροέcτατε πάντων,
cτῆθ᾽ αὐτοῦ καί μου παῦρ᾽ ἐπάκουcον ἔπη.

Παιδόc τοι χάριc ἐcτί· γυναικὶ δὲ πιcτὸc ἑταῖροc
οὐδείc, ἀλλ᾽ αἰεὶ τὸν παρεόντα φιλεῖ.

Παιδὸc ἔρωc καλὸc μὲν ἔχειν, καλὸc δ᾽ ἀποθέcθαι·
πολλὸν δ᾽ εὑρέcθαι ῥήιτερον ἢ τελέcαι.
μυρία δ᾽ ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ᾽ ἐcθλά·
ἀλλ᾽ ἔν τοι †ταύτηι καί τιc ἔνεcτι χάριc.

Οὐδαμά πω κατέμειναc ἐμὴν χάριν, ἀλλ᾽ ὑπὸ πᾶcαν
αἰεὶ cπουδαίην ἔρχεαι ἀγγελίην.

Ὄλβιοc ὅcτιc παιδὸc ἐρῶν οὐκ οἶδε θάλαccαν,
οὐδέ οἱ ἐν πόντωι νὺξ ἐπιοῦcα μέλει.

Καλὸc ἐὼν κακότητι †φιμον δειλοῖcιν ὁμιλεῖc
ἀνδράcι καὶ διὰ τοῦτ᾽ αἰcχρὸν ὄνειδοc ἔχειc,
ὦ παῖ· ἐγὼ δ᾽ ἀέκων τῆc cῆc φιλότητοc ἁμαρτὼν
ὠνήμην ἔρδων οἷά τ᾽ ἐλεύθεροc ὤν.

Ἄνθρωποί c᾽ ἐδόκουν χρυcῆc παρὰ δῶρον ἔχοντα

---

**1365** Inscr. uasculi Tanagraei a. fere 500 a. Chr. ap. Vdalric. Koehler Ath. Mitt. 9 (1884) p. 1 s Kretschmer Griech. Vaseninschr. p. 86, 54 Wil.SS. 120 Jac. p. 77

---

**1363** ἀπιὼν ci. Benecke eodem fere cadunt 939 Λ 648 ν 363 **1364** idem exordium 902. 973 **1365** ∼ 1117 **1366** cf. 1321 **1368** eodem cadit 1270 **1369** ss cf. 1353 ss **1371** s cf. Asclep. A. P. 12, 153 **1372** ἐντὸc Kal. ταύτηι uix sanum λύπηι Ahr. **1375** cf. 1335. 1253 Hor. iamb. 2, 1. 5 cum adn. Heinzii **1377** φιμον A φρενῶν Haupt φίλων Bekk. φλιδῶν (φλύων) ego **1377** s cf. 31 s 597 s **1378** eodem fere cadit 546 **1379** sim. cadunt 1099. 1361 **1381** s duo disticha temere coaluisse uidit Bekk., qui idem iterauit Κυπρογενοῦc ex 1304. 1382, negat Kal., qui conectit K., δ. ἰοcτεφάνου. ceterum u. 1304 adn.

ἐλθεῖν Κυπρογενοῦς ⟨...
...Κυπρογένοῦς⟩ δῶρον ἰοστεφάνου
γίνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
ἂν μὴ Κυπρογενὴς δῶι λύσιν ἐκ χαλεπῶν.

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσόν
Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν·
δαμνᾷς ⟦δ'⟧ ἀνθρώπων πυκινὰς φρένας, οὐδέ τίς ἐστιν
οὕτως ἴφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

# ΠΥΘΑΓΟΡΙΚΑ

## ΧΡΥΣΑ ΕΠΗ

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμωι ὡς διάκεινται,
τίμα καὶ σέβου ὅρκον. ἔπειθ' ἥρωας ἀγαυούς

---

1 s Iambl. uit. Pyth. 144 περὶ δὲ τοὺς ὅρκους εὐλαβῶς οὕτως διέκειντο πάντες οἱ Πυθαγόρειοι μεμνημένοι τῆς Πυθαγόρου ὑποθήκης τῆς· [1. 2] Procl. in Tim. I 203, 24 ὥσπερ εἰώθασι λέγεσθαι παρὰ τοῖς Πυθαγορείοις τό· ἀθανάτους—τίμα.

---

1384 eodem cadit 295 1385 αν A ἦν Schnw. 1386 κυθειρα A em. Bekk. Sapph. 1, 1 s Ἀφρόδιτα ... δολόπλοκε sim. cadit 769 1386 s cf. Hes. theog. 399 s 1388 s spectant prooemium (1231 ss 1235 ss) 1388 δ' del. Hart. Ξ 294 πυκ. φρ. idem fere de Cupidine Hes. theog. 122

de editione recentissima a P. C. van der Horst curata u. praefationis p. II non uidi Fabre d'Olivet I versi d'oro con esame, spiegazione e sviluppo Bari 1931 tit. πυθαγορικὰ χρυσᾶ ἔπη M rubro: π. ἔπη τὰ οὕτως ἐπικαλούμενα χρυσᾶ στοιχείωσιν περιέχοντα τῆς τελειοτάτης τῶν πυθαγορείων φιλοσοφίας V Iamblichum et Alciphronem (3, 55, 7) primos Χρ. ἔ. titulo usos esse recte statuit Nauck p. 219 ss. cf. Lucr. 3, 12 *aurea dicta (Epicuri)* Cic. off. 3, 70 *illa aurea (uerba)* ueteris cuiusdam formulae, sed accuratius Chalcid. ad u. 70 s *Aurei uersus* 1 ss cf. Ps.-Phocyl. 8 cum adn. Plat. rep. 3, 392[a] περὶ ... θεῶν ... καὶ περὶ δαιμόνων τε καὶ ἡρώων καὶ τῶν ἐν Ἅιδου adde Diog. Laert. 8, 23 de Triptolemi praeceptis primis cf. Xenocr. fr. 98 H. (Kern) 1 Ps.-Hes. scut. 20 τὼς γάρ οἱ διέκειτο Herod. 9, 26 ἐπὶ διακειμένοισι διάκειται ci. Cam. probat Horst 2 Eur. Suppl. 594 s τοὺς θεοὺς ἔχειν, ὅσοι δίκην σέβονται Plat. leg. 6, 777[d] ὁ φύσει ... σέβων τὴν δίκην

τούς τε καταχθονίους cέβε δαίμονας ἔννομα ῥέζων
coύς τε γονεῖc τίμα τούς τ᾽ ἄγχιcτ᾽ ἐγγεγαῶτας.
τῶν δ᾽ ἄλλων ἀρετῆι ποιεῦ φίλον ὅcτις ἄριcτος.
πραέcι δ᾽ εἶκε λόγοιc᾽ ἔργοιcί τ᾽ ἐπωφελίμοιcι.
μὴ δ᾽ ἔχθαιρε φίλον cὸν ἁμαρτάδοc εἵνεκα μικρῆc,
ὄφρα δύνηι· δύναμιc γὰρ ἀνάγκηc ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτωc ἴcθι, κρατεῖν δ᾽ εἰθίζεο τῶνδε,
γαcτρὸc μὲν πρώτιcτα καὶ ὕπνου λαγνείηc τε
καὶ θυμοῦ. πρήξηιc δ᾽ αἰcχρόν ποτε μήτε μετ᾽ ἄλλου
μήτ᾽ ἰδίηι· πάντων δὲ μάλιcτ᾽ αἰcχύνεο cαυτόν.

---

4 Stob. 4, 5 (ὅτι χρὴ τοὺc γονεῖc κτέ.), 11 p. 621 H. [SMA] Πυθαγόρου ἐκ τῶν Χρυcῶν ἐπῶν· 7s Simplic. in Epict. 30 p. 328 Schw. πειθόμενον τῶι χρυcῶι ὄντωc ἐκείνωι παραγγέλματι· μὴ δ᾽—δύνηι 8 Genes. hist. reg. p. 89, 19 ed. Bonn. τῆc ἀνάγκηc κορυφουμένηc, ἐπεί περ 'δύναμιc ἀ. ἐγγ. ν.' 9—16 Stob. 3, 1 (π. ἀρετῆc), 11 p. 6 H. [M] Πυθαγόρου· κρατεῖν δὲ ἐθίζεο κτλ. 9s Ammon. in Porphyr. isagog. p. 15, 17 Busse καὶ γὰρ καὶ ὁ ἠθικὸc νόμουc τίθηcιν ἑαυτῶι, ὅταν λέγηι· κρατεῖν δ᾽ ἐθίζεο—ὕπνου καὶ φιλότητοc 11s Hierocl. comm. 13 p. 447 M. πρήξηιc δ᾽—cαυτόν 12 Galen. π. διαγνώcεωc καὶ θεραπείαc τῶν ἐν τῆι ἑκάcτου ψυχῆι ἰδίων παθῶν 5 uol. 5, 26 K. cὺ δὲ cαυτὸν αἰδοῦ μάλιcτα πειθό-

---

3 ad κ. δ. cf. A. P. 7, 333, 1 Ε 403 αἴcυλα ῥέζων Hom. epigr. 15, 23 αἴcιμα ῥέζειν 4 coύc τε V det. Hierocl. lemm. Stob. SA (cf. Ps.-Phocyl. 8) τούc τε M Hierocl. comm. (?) Stob. M Herod. 5, 79 τῶν ἄγχιcτα δέεcθαι ἐγγεγαῶταc Hierocl. V lemm. et comm. (οἱ ἀγχιcτεῖc· οἱ ἐγγύτατα τῶν γονέων ὄντεc) ἐγεγ- V ἐκγ- M (κ e corr.) det. Stob. 5 ἄρεcτοc V (errore) Hom. Ἀχαιῶν ὅcτιc ἄριcτοc 6 Plat. leg. 10, 888ª ἐν πραέcι λόγοιc . . . νουθετῶν ἐπωφελίαιcι V det. Hierocl. lemm. et comm. (ἐπ᾽ ὠφελίαι τῆι ἡμετέραι πράττουcιν) 7 ἔχθειρε V Phot. lex. p. 88, 2 Reitz. ἁμαρτάδα Ἡρόδοτοc [1, 91] καὶ οἱ ἄλλοι Ἴωνεc μικρᾶc M det. Simpl. 8 ἐγγ. ν. Hes. op. 288 Chaerem. fr. 18 p. 788 N.² contulit Nauck 9 τ. μ. οὕ. ἴ. = Theogn. 31 ad κρ. cf. 49 εἰθ. redit 35. sed cf. Stob. 10s cf. Tim. Locr. 102ᵉ. 103ª 10 μὲν om. Stob. 11s ad rem cf. Ps.-Phocyl. 76 Democr. fr. 84 D. Musonium Democritum Theophrastum Catonem ap. Stob. 3, 31, 6ss 11 πρήξειc det. Stob. 12 μήτ᾽ αὐτόc Stob.¹ δὲ: δὴ Stob.² SMᵈA αἰcχύναιο M det.

εἶτα δικαιοσύνην ἀσκεῖν ἔργωι τε λόγωι τε,
μὴ δ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε,
ἀλλὰ γνῶθι μέν, ὡς θανέειν πέπρωται ἅπασιν,
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.
ὅσσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ἣν ἂν μοῖραν ἔχηις, ταύτην φέρε μὴ δ' ἀγανάκτει.
ἰᾶσθαι δὲ πρέπει καθ' ὅσον δύνηι, ὧδε δὲ φράζευ·
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ Μοῖρα δίδωσιν.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοί
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο μήτ' ἄρ' ἐάσηις
εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἤν πέρ τι λέγηται,

---

μενος τῶι φάντι· πάντων—σαυτόν. Stob.[2] 3, 24 (π. τοῦ συνειδότος), 2 p. 601 H. [SMA Mac.] Πυθαγόρου· π.—σ. Eliae proleg. philos. 12 p. 34, 10 Busse ἡνίκα ἐπάιδωμεν ἑαυτοῖς τὰ τῶι ὄντι Χρυσᾶ ἔπη Πυθαγόρου τό· π.—σ. 17 s Plvt. consol. ad Apoll. 29 p. 116[e] καλῶς δ' οἱ Πυθαγόρειοι παρεκελεύσαντο λέγοντες· Ps.-Plvt. uit. Hom. 153 p. 424 Bern. παρὰ τοῦτο δ' ἐστὶ τὸ Πυθαγορικόν· Stob. 4, 44 (ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα κτέ.), 17 p. 962 H. [SMA] Πυθαγόρου· 21—26. 39 Stob. 3, 3 (π. φρονήσεως), 21 p 199 H. [MA Tr.] Πυθαγόρου ἐκ τῶν Χρυσῶν ἐπῶν (ἐκ τ. Χρ. ἐπ. om. Tr.)·

---

13 Herod. 1, 96 δικαιοσύνην ... ἤσκεε cf. Plat. Gorg. 527[e] ἄσκει det. pauci Hierocl. comm. p. 435 Stob. ἔργωι τε καὶ λόγωι Plat. 14 ss cf. Nauck p. 211 s 14 ἀλόγιστον M παρὰ M ad rem cf. 27. 39 Plat. Tim. 87[c] τὰ δὲ ... μέγιστα ἀλογίστως ἔχομεν 15 Γ 309 θανάτοιο τέλος πεπρωμένον ἐστίν 15 s cf. Ps.-Phocyl. 109 16 φίλει M det. ἄλλοτε δ' M Stob. cf. Ps.-Phocyl. 27 cum adn. 17 δὲ M det. Stob. ℭ Plut. τε V Hierocl. Ps.-Plut. δαιμονίηισι Plut. Plat. Hipp. mai. 304[b] ἐμὲ δὲ δαιμονία τις τύχη ... κατέχει α 34 ὑπὲρ μόρον ἄλγε' ἔχουσιν 18 ὧν M det. Hierocl. Stob. ἕληις M det. Stob. ταύτην V Hierocl. lemm. Stob. πράως M det. Hierocl. comm. p. 442. 445 καλῶς Hierocl. comm. p. 438. 441 φέρε: ἔχε Plut. Plat. Phaed. 69[d] οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ 20 μοῖρα Horst 21 λόγοι om. V Hes. fr. 164 Rz. δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές 21 s Polyb. 4, 85, 5 ὅταν δὲ κατά τινος τῶν φίλων ... προσπέσηι τις αὐτῶι λόγος Plat. rep. 4, 436[a] οὐδὲν ... ἡμᾶς τῶν τοιούτων λεγόμενον ἐκπλήξει 22 ἐκπλήσεο M 23 ὅργεσθαι M δ' ἥν πέρ

πράωϲ εἶχ᾽. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείϲθω·
μηδεὶϲ μήτε λόγωι ϲε παρείπηι μήτε τι ἔργωι
πρῆξαι μηδ᾽ εἰπεῖν, ὅ τί τοι μὴ βέλτερόν ἐϲτιν.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπωϲ μὴ μωρὰ πέληται·
δειλοῦ τοι πράϲϲειν τε λέγειν τ᾽ ἀνόητα πρὸϲ ἀνδρόϲ.
ἀλλὰ τάδ᾽ ἐκτελέειν, ἅ ϲε μὴ μετέπειτ᾽ ἀνιήϲει.
πρᾶϲϲε δὲ μηδὲν τῶν μὴ ἐπίϲταϲαι, ἀλλὰ διδάϲκευ
ὅϲϲα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξειϲ.
οὐ δ᾽ ὑγιείαϲ τῆϲ περὶ ϲῶμ᾽ ἀμέλειαν ἔχειν χρή,
ἀλλὰ ποτοῦ τε μέτρον καὶ ϲίτου γυμναϲίων τε
ποιεῖϲθαι. μέτρον δὲ λέγω τόδ᾽, ὃ μή ϲ᾽ ἀνιήϲει.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον

---

**25 s** Hierocl. comm. 18 p. 459 M. **29** Hierocl. comm. 18 p. 459 M. **32—35** Stob. 4, 37 (π. ὑγείαϲ κτέ.), 1 p. 877 H. [SMA] Πυθαγόρου· **34** Hierocl. comm. 18 p. 459 M. μέτρον κτέ.

---

τι: δῆν (ἦν) τί ϲοι Stob. M[d] Tr. δ᾽ ἄν τϊ ϲοὶ Stob. A δ᾽ ἄν ϲοί τι Gesn. γένηται Stob. **24** εἶχ᾽ V εἶκε Hierocl. lemm. et comm. Stob. 𝕮 ἴϲχι᾽ M εἶκ᾽ et ἴϲχ᾽ det. Β 257 ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεϲμένον ἔϲται πᾶϲι Stob. **25** λόγοϲ M det. περείπη M Ζ 337 με παρειποῦϲ᾽ . . . μαλακοῖϲ ἐπέεϲϲιν μηδέ τι Stob. A μή τέ τοι Monac. 476 ἔργον M **26** πρῆξεϲ M πρᾶξαι Stob. M[d]A τοι μὴ om. Stob. A μὴ om. Stob. M[d] βέλτ. ἐ. Hom. **27** cf. 14. 39 πωϲ M **27 ss** de uersibus a Stob. omissis cf. Hense l. c. **28** πρήϲϲειν M det. **29 ss** cf. Ps.-Isocr. ad Demonic. p. $12^b$ (Horst) **29** ἀνιήϲηι V Hierocl. lemm. et p. 459 M. (𝕮) an recte (cf. 34. 39)? **30** πρῆϲϲε M det. μηδὲν ὧν V μηδὲ ἓν ὧν M det. em. Mull. Nauck cum paucis det. διδάϲκου M det. **31** Plat. Epin. $986^c$ ἄριϲτα . . . εὐτυχέϲτατά τε διάξειν τὸν βίον διάξηϲ M **32** ὑγείαϲ Stob. 𝕮 ὑγιείηϲ M det. Horst περὶ: κατὰ SMA (+τὸ Tr.) **33** ϲίτων M det. **33 s** τε π.: πεποιῆϲθαι Stob. A cf. Ps.-Phocyl. 68 s Ps.-Plat. Anter. $134^c$ τὰ μέτρια γυμνάϲια τὴν εὐεξίαν ἐμποιεῖν τοῖϲ ἀνθρώποιϲ **34** τόδ᾽: τοῦτο Stob. A τοῦδ᾽ Stob. M ἀνιήϲηι V det. Hierocl. lemm. et p. 459 (𝕮) Stob. A uide an recte cf. 29. 39 **35** εἰθίζευ M ἐθίζου Stob. S ἐθνίζου Stob. M ἐθίζουϲαν Stob. A ἔχεν Stob. M καθάριον Stob. 𝕮 Athen. 3, $74^d$ ἡ ϲυκῆ . . . ἡγεμὼν τοῦ καθαρείου βίου τοῖϲ ἀνθρώποιϲ ἐγένετο ἄθρυππον M Plut. apopth. 17 p. $180^e$ ἀθρύπτωϲ διαιτωμένου καὶ αὐϲτηρῶϲ. cf. eiusdem consol. ad Apoll. 5 p. $609^e$ ἀθρυψίαι τῆι περὶ δίαιταν

καὶ πεφύλαξο τοιαῦτα ποιεῖν, ὁπόςα φθόνον ἴςχει.
μὴ δαπανᾶν παρὰ καιρὸν ὁποῖα καλῶν ἀδαήμων
μηδ᾽ ἀνελεύθερος ἴςθι. μέτρον δ᾽ ἐπὶ πᾶςιν ἄριςτον.
πρᾶςςε δὲ ταῦθ᾽, ἅ ςε μὴ βλάψει, λόγιςαι δὲ πρὸ ἔργου.
Μὴ δ᾽ ὕπνον μαλακοῖςιν ἐπ᾽ ὄμμαςι προςδέξαςθαι,

---

37 s Stob. 3, 15 (π. ἀςωτίας), 7 p. 477 H. [SMA Mac.] Πυθαγόρου· 40—44 Hierocl. comm. 19 p. 460 M. 40—44 Arrian. dissert.[1] 3, 10, 2 p. 263 s Sch. ἑκάςτου δόγματος ὅταν ἡ χρεία παρῆι, πρόχειρον αὐτὸ ἔχειν δεῖ· ἐπ᾽ ἀρίςτωι τὰ περὶ ἀρίςτου ... ἐν κοίτηι τὰ περὶ κοίτης· cf. [2]4, 6. 32 ss p. 415 Sch. Ammon. in Porphyr. isagog. p. 15, 23 Busse καὶ δικάζει (ὁ ἠθικὸς) δ᾽ ἑαυτόν, ὅτε φηςίν· 40—42. 44 Eliae proleg. philos. p. 34, 17 Busse ἡνίκα πάλιν ἐπάιδωμεν ἑαυτοῖς τὰ αὐτὰ Χρυςᾶ ἔπη· μηδὲ ὕπνον — οὐκ ἐτελέςθη; αἰςχρὰ μὲν ἐκπρήξας ἐπιπλήςςεο, ἐςθλὰ δὲ τέρπου 40—42 Porph. uit. Pyth. 40 πρὸ μὲν οὖν τοῦ ὕπνου ταῦτα ἑαυτῶι τὰ ἔπη ἐπάιδειν ἕκαςτον· [40—42]. πρὸ δὲ τῆς ἐξαναςτάςεως ἐκεῖνα· (cf. infra ad 39 et Schol. ad l. ταῦτα πάντα ἐν τοῖς Χρυςοῖς ἔπεςιν τὰ παραγγέλματα κεῖται) Avson. 363, 14 ss *non prius in dulcem declinans lumina somnum omnia quam longi reputauerit acta diei: qua praetergressus, quid gestum in tempore, quid non?* cf. Hor. sat. 1, 4, 133 ss Cypr. Gall. gen. 912

---

36 καὶ τις φύλαξο πράττειν ταῦθ᾽ ὅτι ὅςα φθ. ἴ. M τοιαῦτα Monac. 476 det. alii Hierocl. lemm. et p. 458 M. ταῦτα V γε ταῦτα det. 37 δαπανῶν V det. Hierocl. Horst δαπάνα Cob. ὁποῖα καλῶν ἀδαήμων: ἀπειροκάλως ἔνι ἡμῶν Stob. ℭ ἀπ. ἀνοήμων ci. Buech. ἀπειρόκαλος glossema dictionis καλῶν ἀδαήμων putat fuisse Hense ἀπειρ. uox Platonica μ 208 κακῶν ἀδαήμονες 37 s cf. Ps.-Phocyl. 81 s 37 ss interdicta multa exhibet Hes. op. 707 ss (Kern) 38 Plat. rep. 6, $486^{b}$ ὁ κόςμιος καὶ μὴ φιλοχρήματος μηδ᾽ ἀνελεύθερος ad μέτρον δ᾽ ἐπὶ πᾶςιν ἄριςτον cf. Theanus epist. ap. Hercher p. 606, 27 καὶ ἐπὶ τοῦτο δεῖ νοεῖν, μέτρον δ᾽ ἐπὶ πᾶςιν ἄριςτον et Ps.-Phocyl. 36 cum adn. et 137, praeterea u. Theogn. 401 cum adn. 39 πρῆςςε M ταῦτα V Stob. $M^{d}$ Tr. ἅ ςε μὴ M det. Hierocl. comm. Stob. ℭ ἃ μή ςε V det. Hierocl. lemm. Stob. Trinc. βλάψηι V det. Hierocl. lemm. et comm. (cf. 29. 34) βλάπτει Stob. $M^{d}$A βλάπτηι Tr. λόγιςοι M cf. 14. 27 add. M e Porphyr. uit. Pyth. (40) πρῶτα μὲν ἐξ ὕπνοιο μελίφρονος ἐξυπαναςτάς εὖ μάλα πιπνύειν (ποιπνύειν uel μάλ᾽ ὀπιπεύειν Mull. Nauck) ὅς᾽ ἐν ἤματι ἔργα τελέςςεις· cf. Pyth. uers. V p. 230 Nauck 40 K 2 μαλακῶι δεδμημένοι ὕπνωι

πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
'πῆι παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;'
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι καὶ μετέπειτα
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπευ.
ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε·
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει
ναὶ μὰ τὸν ἁμετέραι ψυχᾶι παραδόντα τετρακτύν,

---

**42** Plvt. superst. 7 p. 168[b] προσκρούσας ἐν πολιτείαις καὶ περιπεσὼν ἀδοξίαις ... ἢ διαβολαῖς ... τὴν αἰτίαν ἐξ αὑτοῦ καὶ τῶν περὶ αὑτὸν ἀνασκοπεῖ· curios. 1 p. 515[f] ἑκάστου πρὸς ἑαυτὸν λέγοντος· Diog. Laert. 8, 22 (Svid. s. Πυθαγόρας) λέγεται παρεγγυᾶν αὐτὸν (τὸν Πυθαγόραν) ἑκάστοτε τοῖς μαθηταῖς τάδε λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι· Themist. or. 13, 175[a] εἶτα οὐδὲ ἐπιλέγει αὑτοῦ εἰς τὸν ὕπνον ἰών· ποῖ παρέβην κτλ. Evstrat. in Arist. eth. Nicom. p. 2, 9 Heylb. ἵν' ἐν μηδενί ποτε τοῦ εὖ ἀπολείποιτο, ὡς ἐφ' ἑκάστου λέγειν τῶν πεπραγμένων ὡς Φωκυλίδης· πῆ παρέβην κτλ. Cic. Cato 38 *Pythagoreorumque more exercendae memoriae gratia, quid quoque die dixerim audierim egerim, commemoro uesperi* **43** s Avson. 363, 24 ss *sic dicta et facta per omnia ingrediens ortoque a uespere cuncta reuoluens offensus prauis dat palmam et praemia rectis* **44** Clem. Alex. paed. 1, 94, 1 p. 146 St. καί μοι δοκεῖν συνεὶς τοῦτο ὁ Σάμιος παραγγέλλει Πυθαγόρας· δειλὰ μὲν — τέρπου **45** s Iambl. protr. 3 p. 10 P. ἔστι δὲ καὶ ἄλλος τύπος γνώμαις χρώμενος ..., ὃν ἔχομεν παρειληφότες ἐν ἄλλοις τε καὶ ἐν τοῖς Χρυσοῖς ἔπεσιν, ὧν ὀλίγα ἄττα δείγματα παραθετέον τὰ τοιαῦτα· Georg. Cedren. synops. 1 p. 274, 18 ed. Bonn. Πυθαγόρας δὲ ὁ Σάμιος ... καὶ τὰ Χρυσᾶ ἔπη ἔγραψεν ... ταῦτα, φησί, πόνει κτλ. Hierocl. comm. prooem. p. 416 M. **47** Ivlian. or. 6 p. 196[c]

---

**41** ἡμερίων Arrian. 𝔈 ἔργων λογίσασθαι ἕκαστα Arrian. ἕ. λογ. ἕκαστον Hierocl. comm. p. 461 bis **42** πῆι: τί Ammon. 𝔈 μοι δέον: δέ μοι uel μοι δὲ Ammon. 𝔈 δέον ἐκτετέλεσται Arrian.[1] **43** δ' om. V ἀπὸ τοῦ πρώτου διέξιθι Ammon. 𝔈 ἀπὸ τοῦδε ἐπέξιθι Arrian. αὐτὰρ ἔπειτα Ammon. **44** δειλὰ VM plerique Hierocl. δεινὰ Monac. 476 alii cum det. Arriani αἰσχρὰ Ammon. Elias ἔπρηξας Eliae unus cod. ῥέξας Arrian. 𝔈 ἐσθλὰ δὲ M Elias τέρπου det. Clem. Arrian. Anecd. Hierocl. pars codic. Ammon. Elias add. M al. ταῖς αὐταῖς ἀρεταῖς ποιεῦ φίλον ὅν κ' ἐθέλησθα (cf. 5) **46** θείας det. Iambl. Georg. **47** ναὶ μὰ 𝔈 Hierocl. Dauid Georg. Nicet. οὐ μὰ ceteri ἁμετέραις ψυχαῖς Da-

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

παγὰν ἀενάου φύϲεωϲ.

---

ἄχριϲ οὗ γαϲτὴρ ἄρχει ϲου καὶ τὰ ἔνερθεν γαϲτρὸϲ . . ., οὔπω τῆϲ ἐλευθερίαϲ ἔθιγεϲ οὐδὲ ἐγεύϲω τοῦ νέκταροϲ· οὐ μὰ τὸν ἐν ϲτέρνοιϲιν ἐμοῖϲ π. τ. consilio detorsit Iulianus MACR. somn. Scip. 1, 6. 41 *(numerum) quaternarium quidem Pythagorei, quem* τετρακτύν *uocant, adeo . . . uenerantur, ut ex eo et iuris iurandi religionem sibi fecerint:* οὐ μὰ τὸν ἁμετέραι κτλ. *per qui nostrae animae numerum dedit ipse quaternum* **47 s** DAVID proleg. philos. 15 p. 48, 24 Busse ὁ τέϲϲαρα ἀριθμὸϲ πάνυ ἦν τίμιοϲ παρὰ τοῖϲ Πυθαγορείοιϲ, ὡϲ καὶ αὐτοὶ ὀμνύοντεϲ εἰϲ τὸν Πυθαγόραν δηλοῦϲι λέγοντεϲ· ναὶ μὰ τὸν ἁμετέραιϲ ψυχαῖϲ — φύϲεωϲ, τοῦτ' ἔϲτι· 'ναὶ μὰ τὸν Πυθαγόραν τὸν παραδόντα ἡμῖν τὸν τέϲϲαρα ἀριθμὸν τὴν πηγὴν τῆϲ ἀεννάου φύϲεωϲ' GEORG. CEDREN. synops. 1 p. 275, 2 ed. Bonn. ὅρκωι τὰ λεχθέντα πιϲτοῦται (Πυθ.) λέγων οὕτωϲ· ναὶ μὰ — φύϲεωϲ PROCL. in Tim.[1] I 16, 31 οἱ τὸν ἀριθμὸν ὑμνοῦντεϲ [u. IX p. 234 Nauck]· 'πατέρα μακάρων καὶ ἀνδρῶν καὶ τὴν τετρακτὺν παγὰν ἀενάου φύϲεωϲ' [2] II 53, 5 οὕτω δὲ καὶ αὐτὴν τὴν τετρακτὺν π. ἀ. φ. ὕμνηϲεν ὁ τῶν Χρυϲῶν ἐπῶν πατήρ. NICET. in Greg. Naz. uol. 2 p. 1227 ed. Colon. ὕμνυον δὲ οὕτωϲ οἱ τούτου (τοῦ Πυθ.) μαθηταί, καθὼϲ ἐν τοῖϲ Χρυϲοῖϲ καλουμένοιϲ ἔπεϲιν αὐτοῦ φηϲι· u. **48** contextum genuinum praebent (cf. Pyth. uers. IV p. 229 s Nauck): AET. placit. 1, 3, 8 ap. Plut. epit. 1, 3 p. 877 (STOB. 1, 10, 12 p. 125 W. [FP]) = DOXOGR. gr. ed. Diels p. 282 (Vorsokrat. I[3] p. 349 Diels Archiv f. Gesch. d. Philos. 3, 457) διὸ καὶ ἐφθέγγοντο οἱ Πυθαγόρειοι ὡϲ μεγίϲτου ὅρκου ὄντοϲ τῆϲ τετράδοϲ· οὐ μὰ τὸν ἁμετέραι ψυχᾶι . . . φύϲεωϲ ῥίζωμά τ' ἔχουϲαν HIPPOL. elench.[1] 6, 23, 4 p. 150 W. ὅθεν καὶ ὅρκοϲ τίϲ ἐϲτι τοῖϲ Πυθαγορικοῖϲ ἡ τῶν τεϲϲάρων ϲτοιχείων ϲυμφωνία. ὀμνύουϲι δ' οὕτωϲ· ναὶ μὰ . . . πηγὴν . . . ἔχουϲαν [2] 1, 2, 9 p. 6 W. ταύτην ὁ Πυθαγόραϲ ἔφη ἱερὰν τετρακτύν· πηγὴν — ῥιζώματα ἔχουϲαν. cf. [3] 4, 51, 7 p. 75 W. [4] 6, 34, 1 p. 162 W. SEXT. EMPIR. adu. math.[1] p. 209, 24 Bekk. p. 22 M. οἱ Πυθαγορι-

---

uid ἁμετέραι κεφαλᾶι Stob. Sext. Empir.[1] Hippol.[1] ἁμετέραϲ ϲοφίαϲ Iambl.[1] ἁμετέραι γενεᾶι Porph. Theol. arithm. ἁμετέρηι γενεῆι Iambl.[2] παραδόντα: εὑρόντα Iambl.[1] **48** πηγὴν Sext. Empir. plerique Hippol.[1.2(4)] Theo Smyrn. αἰενάου M ἀεννάου det. haud pauci et auctorum codic. plerique φύϲιοϲ Aet. cod. Paris. 1734 Porph. Theol. arithm. ϲοφίαν Stob. [adn.: ῥίζωμά τ' Aet. codic. AB Hippol.[4] Theon. Smyrn. cod. A ῥιζώματα testes reliqui et codic. om. Hippol.[1]]

ʼΑλλʼ ἔρχευ ἐπʼ ἔργον
θεοῖϲιν ἐπευξάμενοϲ τελέϲαι. τούτων δὲ κρατήϲαϲ
γνώϲεαι ἀθανάτων τε θεῶν θνητῶν τʼ ἀνθρώπων
ϲύϲταϲιν, ἧι τε ἕκαϲτα διέρχεται, ἧι τε κρατεῖται.
γνώϲηι δʼ, ἣ θέμιϲ ἐϲτί, φύϲιν περὶ παντὸϲ ὁμοίην,
ὥϲτε ϲε μήτε ἄελπτʼ ἐλπίζειν μήτε τι λήθειν.
γνώϲηι δʼ ἀνθρώπουϲ αὐθαίρετα πήματʼ ἔχονταϲ
τλήμοναϲ, οἵ τʼ ἀγαθῶν πέλαϲ ὄντων οὔτʼ ἐϲορῶϲιν

---

κοὶ ποτὲ μὲν εἰώθαϲι λέγειν τό [u. X p. 234 s N.]· ʽἀριθμῶι δέ τε πάντʼ ἐπέοικενʼ, ὁτὲ δὲ τὸν φυϲικώτατον ὀμνύναι ὅρκον οὑτωϲί [B 15 Diels]· οὐ μὰ τὸν—ἔχουϲαν. cf. [2] p. 722, 4 s; [3] p. 723, 27 Bekk., ubi πηγὴν—ἔχ. Porph. uit. Pyth. 20 διʼ αὐτῆϲ (τῆϲ τετρακτύοϲ) ἐπώμνυον ὡϲ θεόν τινα τὸν Πυθαγόραν ἐπιφθεγγόμενοι πάντεϲ ἐπὶ πᾶϲι τοῖϲ ὑπʼ αὐτῶν βεβαιουμένοιϲ· οὐ μὰ .. ἔχουϲαν Iambl. uit. Pyth.[1] 150 ἀναφέρεταί γε μὴν εἰϲ τοὺϲ Πυθαγορικοὺϲ καὶ τοιόϲδε τιϲ ὅρκοϲ, αἰδῶ μὲν ποιουμένων ὀνομάζειν Πυθαγόραν, ... διὰ δὲ τῆϲ εὑρέϲεωϲ τῆϲ τετρακτύοϲ δηλούντων τὸν ἄνδρα· οὐ μὰ τὸν ἁμ. ϲοφίαϲ—ἔχ. [2] 162 εἰϲ ὅρκου ϲχήματα περιίϲτατο (i. Πυθαγόρου πλάϲματα καὶ ποιήματα) τοῖϲ ὁμακόοιϲ· οὐ μὰ τὸν—ἔχουϲαν Theo Smyrn. expos. rer. math. p. 94, 6 Hill. διὸ καὶ ὅρκοϲ ἦν αὐτοῖϲ (τοῖϲ Πυθαγορικοῖϲ)· οὐ μὰ τὸν—ἔχ. Theol. arithm. p. 18 Ast καθά που καὶ ʼΕμπεδοκλῆϲ· οὐ μὰ τὸν—ἔχουϲαν 49—53 Iambl. protr. 3 p. 11 P. εἴϲ γε τὴν θεωρητικὴν ϲοφίαν διὰ τούτων παρακαλεῖ· τούτων δὲ—λήθειν 54 Chrysipp. ap. Gell. 7, 2, 12 [fr. 1000 II p. 294 Arn.] διὸ καὶ ὑπὸ τῶν Πυθαγορείων εἴρηται· [54] ὡϲ τῶν βλαβῶν ἑκάϲτοιϲ παρʼ αὑτοῖϲ (sic siue αὑτοὺϲ 𝕮: αὐτῶν Grot.) γινομένων καὶ καθʼ ὁρμὴν αὐτῶν ἁμαρτανόντων τε καὶ βλαπτομένων καὶ κατὰ τὴν αὐτῶν διάνοιαν καὶ θέϲιν 54 s Iambl. protr. 3 p. 12 P. αἱ δὲ ἐπὶ τούτοιϲ γνῶμαι ἀπὸ τῆϲ προαιρετικῆϲ ἐν ἡμῖν ζωῆϲ ποιοῦνται τὴν παράκληϲιν οἷον· γνώϲηι δʼ—τλήμοναϲ . . . pergit paulo post: παραπλήϲια δὲ τούτωι καὶ τὰ τοιαῦτά ἐϲτιν· οἵ τʼ ἀγαθῶν—ϲυνιᾶϲιν

---

49 λ 46 ἐπεύξαϲθαι δὲ θεοῖϲιν δὲ om. M ad κρ. cf. 9 50 ω 64 ἀθάνατοί τε θεοὶ θνητοί τʼ ἄνθρωποι 52 s om. M errore in fine f. $4^{u}$ 52 δʼ ἧι M plerique Hierocl. Horst θʼ ἣ V Hom. ἣ θέμιϲ ἐϲτί et ἀϲπίδα παντόϲʼ ἐίϲην 54 Soph. Oed. R. 1230 s τῶν δὲ πημονῶν μάλιϲτα λυποῦϲʼ αἳ φανῶϲʼ αὐθαίρετοι 54 ss cf. Horst p. 41 ss Orph. fr. 233 p. 247 K.

οὔτε κλύουσι, λύσιν δὲ κακῶν παῦροι συνιᾶσιν.
τοίη Μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κύλινδροι
ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρονται ἀπείρονα πήματ᾽ ἔχοντες.
λυγρὰ γὰρ συνοπαδὸς Ἔρις βλάπτουσα λέληθεν
σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
εἰ πᾶσιν δείξαις, οἵωι τωι δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.

---

**58—60** Iambl. protr. 3 p. 13 P. οὐ γὰρ ἀνεκτόν ἐστι κυλινδρίοις ἐοικότας· 'ἀλλ. ἐπ᾽ ἄ. φέρεσθαι ἀπ. π. ἔχοντας' . . . paulo post pergit: ἡ δὲ μετὰ ταῦτα γνώμη ἐστὶ τοιαύτη· λυγρὰ γὰρ — φεύγειν **60** Simplic. in Epict. 2 p. 85 Schw. ὅπερ ὁ τῶν Χρυσῶν ἐπῶν ποιητὴς εἶπεν, εἴκοντα χρὴ φεύγειν ἀπὸ τῶν τοιούτων **61—63** Iambl. protr. 3 p. 14 P. πρός γε μὴν τὴν θείαν τελειότητα . . . αἱ τοιαῦται γνῶμαι παρακαλοῦσι·

---

**56** κλύκει M Plat. Phaedr. 244ᵉ λύσιν . . . τῶν παρόντων κακῶν συνιεῖσιν M συνίσασιν Nauck cum det. nonnullis (-σᾶσι(ν)) **57** μοῖρ᾽ αὐτῶν V det. Hierocl. lemm. et comm. Horst Ξ 178 τὸν δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐίσας οἱ δὲ MV cum plerisque Hierocl. lemm. ὡς δὲ Nauck Horst cum Hierocl. comm. (οἷον, ὡς) et det. paucis κυλίνδροις V det. Hierocl. lemm. de cylindro cf. Vollgraff Mnemosyne 52 (1924) p. 207 ss *(De lapide cylindro)* **57 s** Ρ 688 πῆμα θεὸς Δαναοῖσι κυλίνδει. cf. Ρ 99 Λ 347 **59** λυγρὴ M det. Plat. Phaedr. 248ᶜ ψυχὴ θεῶι ξυνοπαδὸς γενομένη **59 s** Ζ 92 ἔριδα προφέρουσαι. cf. Γ 7 **60** ἣ . . . προσάγειν M det. **61** τε libri plerique Hierocl. lemm. et comm. om. det. pauci γε editores quidam κε Mull. Nauck Horst ε 397 τόν γε θεοὶ κακότητος ἔλυσαν παύσειας M det. Iambl. σώσειας Monac. 476 et det. alter **62** εἰ: ἢ M det. Hierocl. lemm. et comm. δείξεις unus e det. Iambl. τω Monac. 113 τῶι cum plerisque editores, δείξειας ὁποίωι ci. Nauck ad rem cf. Horst p. 49 ss **63** ἔστ᾽ ἀνθρώπων M sententiam inlustravit Horst p. 57 s. cf. in primis Orph. fr. 32a, 7 et 32c, 3. 4 e, 3 K. **65 s** κελεύω, ἐξ. ψ. δὲ Horst **66** Hesych. ἀκέουσι· θεραπεύουσι. Phot. lex. p. 59 Reitz. ἀκέσασθαι καὶ ἀκέσαι· ἰάσασθαι Marcell. Sidet. pisc. 98 σμαρίδες . . . ἀκροχορδόνας ἐξακέουσιν

ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν ἔν τε Καθαρμοῖϲ
ἔν τε Λύϲει ψυχῆϲ, κρίνων καὶ φράζευ ἕκαϲτα
ἡνίοχον γνώμην ϲτήϲαϲ καθύπερθεν ἀρίϲτην.
ἢν δ' ἀπολείψαϲ ϲῶμα ἐϲ αἰθέρ' ἐλεύθερον ἔλθηιϲ,
ἔϲϲεαι ἀθάνατοϲ θεὸϲ ἄμβροτοϲ, οὐκέτι θνητόϲ.

# ΦΩΚΥΛΙΔΟΥ

## ΓΝΩΜΑΙ

Ταῦτα δίκηιϲ' ὁϲίηιϲι θεοῦ βουλεύματα φαίνει
Φωκυλίδηϲ ἀνδρῶν ὁ ϲοφώτατοϲ ὄλβια δῶρα.

---

**67 s** Hierocl. comm. 16 p. 456 M. ἀλλ'—κρίνων **69—71** Iambl. protr. 3 p. 15 P. ἐπὶ τέλει τοίνυν πρὸϲ τὴν μετάϲταϲιν τῆϲ ψυχῆϲ προτρέπει καὶ τὴν ζωὴν αὐτῆϲ τὴν καθ' ἑαυτήν.... λέγει δὲ οὕτωϲ· ἡνίοχον—θνητόϲ. sequitur interpretatio **70 s** Hierocl. comm. 20 p. 463 M. Chalcid. in Plat. Tim. 135 *Pythagoras etiam in suis Aureis uersibus: 'corpore deposito cum liber ad aethera perges, euades hominem factus deus aetheris almi'*

---

**67** βροτῶν M **67 s** cf. Orph. fr. 3 p. 82 K. Plat. rep. 2, 364[e] λύϲειϲ τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυϲιῶν ... εἰϲί Phaed. 82[d] τῆι ἐκείνηϲ (τῆϲ φιλοϲοφίαϲ) λύϲει τε καὶ καθαρμῶι 67[d] (θάνατοϲ) λύϲιϲ καὶ χωριϲμὸϲ ψυχῆϲ ἀπὸ ϲώματοϲ **69** ad ἡν. cf. Plat. Polit. 266[e] Phaedr. 246[a] Plut. Galb. 6 **70** ad ἀπολ. cf. Ps.-Phocyl. 77 Ps.-Plat. Axioch. 366[a] ἡ ψυχὴ ... τὸν οὐράνιον ποθεῖ καὶ ϲύμφυλον αἰθέρα ϲῶμ' εἰϲ Monac. 481 s. XIIII num ἐλεύθεροϲ Chalcid.? sed cf. Cic. Tusc. 1, 51 *(animus) cum exierit et in liberum caelum quasi domum suam uenerit* et Polluc. 5, 109 ἀέρι ... ἐλευθέρωι **70 s** cf. Ps.-Phocyl. 103 s u. Add. quoque **71** Emped. fr. 112, 4 s D. ἐγὼ δ' ὑμῖν θεὸϲ ἄμβροτοϲ, οὐκέτι θνητόϲ πωλεῦμαι. cf. Suid. s. Πυθαγόραϲ Orph. Thur. 1, 10 (fr. 32 c, 10 K.) θεὸϲ δ' ἔϲηι ἀντὶ βροτοῖο Ps.-Phocyl. 104 ὀπίϲω δὲ θεοὶ τελέθονται

tit. ΦΩΚΥΛΙΔΟΥ ΓΝΩΜΑΙ (litteris auratis) P: +Φωκυλλίδου γνῶμαι+ L: Φωκυλίδου φιλοϲόφου ποίηϲιϲ ὀφέλιμοϲ sscr. *Focilidis philosophi poesis utilis* M et interpr. lat.: ΦΩΚΥΛΙΔΟΥ ΦΙΛΟϹΟΦΟΥ ΠΟΙΗϹΙϹ ΩΦΕΛΙΜΟϹ :: B: tit. graec. deest in V, sed manu recenti praescriptum est *Poema heroic. ethicum* ad tit. cf. Suid. s. Φωκυλίδηϲ quoque ad rem cf. Add. **1 s** damn. Ber. cum V, quo in libro hi uersus una cum titulo uidentur interisse sed cf. 229 et Ro. 25 ss **1** ὁϲίηιϲι M. det. ὁϲίοιϲι BLP (cf. 57 ἄγριον ὀργήν et Kühner-Bl. 1, 536 s) ταῦτ' ἀδίκοιϲ' ὁϲίοιϲ τε ci. Ro. cf. 5. 37 **2** ὁ om. B ad ὄ. δ. cf. ν 41 s

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

μήτε γαμοκλοπέειν μήτ' ἄρcενα Κύπριν ὀρίνειν
